GREEK SERIES · VOLUME 41

Theocritus

Theocritus · Moschus · Bion · Aratus

ΕΙΔΥΛΛΙΑ · ΦΑΙΝΟΜΕΝΑ

Theocritus

The Idylls, with Moschus, Bion's Lament
for Adonis, and Aratus' Phaenomena

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 41 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Cholmeley's text of Theocritus, 1901;
Wilamowitz's of Moschus and Bion, 1905; Mair's of Aratus, 1921

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Lines the editors seclude are not printed, nor are Idyll V.41–43
and the close of Idyll XXVII, which Cholmeley's edition leaves out.

CONTENTS

THEOCRITUS

I · Thyrsis 11
II · The Sorceress 21
III · The Serenade 33
IV · The Herdsmen 37
V · Comatas and Lacon 41
VI · Daphnis and Damoetas 52
VII · The Harvest Festival 55
VIII · Daphnis and Menalcas 66
IX · Pastoral 72
X · The Reapers 75
XI · The Cyclops 79
XII · The Beloved 85
XIII · Hylas 88
XIV · Aeschinas and Thyonichus 93

THEOCRITUS

(continued)

XV · The Women at the Adonis Festival 98
XVI · The Graces, or Hiero 109
XVII · Encomium of Ptolemy 117
XVIII · Epithalamium of Helen 126
XIX · The Honey-Thief 131
XX · The Herdsman 132
XXI · The Fishermen 135
XXII · The Dioscuri 140
XXIII · The Lover 155
XXIV · The Infant Heracles 160
XXV · Heracles the Lion-Slayer 170
XXVI · The Bacchae 189
XXVII · The Lovers' Talk 192
XXVIII · The Distaff 195
XXIX · The Boy 197
XXX · The Second Boy 200

MOSCHUS

I · Runaway Love 205
II · Europa 207
III · Lament for Bion 219
IV · Megara 228

BION

Lament for Adonis 239

ARATUS

I · Proem 249
II · The Pole and the Northern Figures 250
III · Bootes and the Maiden 256
IV · The Northern Zodiac and the Royal Family 260
V · The Ram, the Fishes, Perseus, and the Pleiades 266
VI · The Lyre, the Bird, and the Winter Stars 269
VII · Orion, the Dog, Argo, and the Monster 273
VIII · The Southern Stars 278
IX · The Planets and the Milky Way 283
X · The Circles 287
XI · Risings and Settings 291
XII · Risings and Settings, Continued 297
XIII · The Moon and the Seasons 304
XIV · Signs from the Sun and the Manger 310
XV · Signs of Wind and Rain 316
XVI · Signs of Fair Weather and Storm 322
XVII · Signs from Plants and Beasts 326

THEOCRITUS

ΕΙΔΥΛΛΙΑ

The Idylls

Θύρσις ἢ ᾠδή

I · THYRSIS

Thyrsis and a goatherd praise each other's music. Fearing Pan at noon, the goatherd will not pipe, but offers a goat and a carved ivy cup for a song of Daphnis. The cup shows a woman between two quarreling suitors, an old fisherman with his net, and a boy plaiting a locust-cage while foxes rob the vineyard. Thyrsis sings how Daphnis wasted away for love and defied the mocking Cypris. Daphnis bids the beasts farewell, gives Pan his pipe, and goes to the stream. The goatherd gives Thyrsis the cup.

ΘΥΡΣΙΣ Ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς αἰπόλε τήνα,

Sweet something the whispering and the pine goatherd yonder

ἃ ποτὶ ταῖς παγαῖσι μελίσδεται, ἁδὺ δὲ καὶ τὺ

which by the springs makes-music sweet and also you

συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ.

pipe after Pan the second prize you-will-carry-off

αἴκα τῆνος ἔλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ.

if that-one take horned he-goat she-goat you will-get

αἴκα δ' αἶγα λάβῃ τῆνος γέρας, ἐς τὲ καταρρεῖ

if and she-goat take that-one as-prize to you falls

ἁ χίμαρος· χιμάρῳ δὲ καλὸν κρέας, ἔστέ κ' ἀμέλξῃς.

the kid of-kid and fine the-meat until — you-milk(-her)

ΑΙΠΟΛΟΣ Ἄδιον ὦ ποιμὴν τὸ τεὸν μέλος ἢ τὸ καταχὲς

Sweeter O shepherd the your song than the down-pouring

τῆν' ἀπὸ τᾶς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ.

yonder from the rock trickles-down from-above water

αἴκα ταὶ Μοῖσαι τὰν οἰίδα δῶρον ἄγωνται,

if the Muses the ewe as-gift take

ἄρνα τὺ σακίταν λαψῇ γέρας· αἰ δέ κ' ἀρέσκῃ

a-lamb you stall-fed will-get as-prize if but — it-please

τήναις ἄρνα λαβεῖν, τὺ δὲ τὰν ὄιν ὕστερον ἀξῇ.
them the-lamb to-take you and the ewe afterward will-lead-off

ΘΥΡΣΙΣ λῇς ποτὶ τᾶν Νυμφᾶν, λῇς αἰπόλε τεῖδε καθίξας,
will-you by the Nymphs will-you goatherd here sitting-down

ὡς τὸ κάταντες τοῦτο γεώλοφον αἴ τε μυρῖκαι,
where the sloping this hillock the and tamarisks

συρίσδεν; τὰς δ' αἶγας ἐγὼν ἐν τῷδε νομευσῶ.
to-pipe the and goats I in this-time will-herd

ΑΙΠΟΛΟΣ οὐ θέμις ὦ ποιμὴν τὸ μεσαμβρινόν, οὐ θέμις ἄμμιν
not right O shepherd at-the noontide not right for-us

συρίσδεν. τὸν Πᾶνα δεδοίκαμες· ἦ γὰρ ἀπ' ἄγρας
to-pipe — Pan we-fear truly for from the-hunt

τανίκα κεκμακὼς ἀμπαύεται· ἔστι δὲ πικρός,
at-that-hour weary he-rests is and bitter

καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.
and to-him always sharp gall at nose sits

ἀλλὰ τὺ γὰρ δὴ Θύρσι τὰ Δάφνιδος ἄλγε' ἀείδες
but you for indeed Thyrsis the of-Daphnis woes sing

καὶ τᾶς βουκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο μοίσας,
and of-the pastoral to the more you-have-come of-art

δεῦρ' ὑπὸ τὰν πτελέαν ἑσδώμεθα, τῶ τε Πριήπω
hither under the elm let-us-sit — both of-Priapus

καὶ τᾶν Κραναιᾶν κατεναντίον, ᾗπερ ὁ θῶκος
and of-the Craneae facing where the seat

τῆνος ὁ ποιμενικὸς καὶ ταὶ δρύες. αἰ δέ κ' ἀείσῃς
that the shepherds' and the oaks if and — you-sing

ὡς ὅκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ᾆσας ἐρίσδων,
as when — from-Libya against Chromis you-sang competing

αἶγα δέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι,
a-goat and to-you I-will-give mother-of-twins up-to thrice to-milk

ἃ δύ᾽ ἔχοισ᾽ ἐρίφως ποταμέλγεται ἐς δύο πέλλας,
which two having kids is-milked-besides into two pails
καὶ βαθὺ κισσύβιον κεκλυσμένον ἁδέι κηρῷ,
and deep ivy-cup washed-over with-sweet wax
ἀμφῶες, νεοτευχές, ἔτι γλυφάνοιο ποτόσδον.
two-handled newly-made still of-the-chisel smelling
τῶ περὶ μὲν χείλη μαρύεται ὑψόθι κισσός,
of-it around indeed the-lips twines on-high ivy
κισσὸς ἑλιχρύσῳ κεκονιμένος· ἁ δὲ κατ᾽ αὐτὸν
ivy with-helichryse dusted the and along it
καρπῷ ἕλιξ εἱλεῖται ἀγαλλομένα κροκόεντι.
with-fruit tendril winds glorying saffron
ἔντοσθεν δὲ γυνά, τί θεῶν δαίδαλμα τέτυκται,
within and a-woman some of-gods handiwork is-wrought
ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι. πὰρ δέ οἱ ἄνδρες
decked with-robe both and with-headband beside and her men
καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
finely long-haired in-turn from-one-side the-other
νεικείουσ᾽ ἐπέεσσι. τὰ δ᾽ οὐ φρενὸς ἅπτεται αὐτᾶς·
contend with-words these and not heart touch of-her
ἀλλ᾽ ὁκὰ μὲν τῆνον ποτιδέρκεται ἄνδρα γελᾶσα,
but at-one-time indeed that she-looks-at man smiling
ἄλλοκα δ᾽ αὖ ποτὶ τὸν ῥιπτεῖ νόον. οἱ δ᾽ ὑπ᾽ ἔρωτος
at-another-time and again toward the-other she-throws mind they and from love
δηθὰ κυλοιδιόωντες ἐτώσια μοχθίζοντι.
long swollen-eyed vainly toil
τοῖς δὲ μετὰ γριπεύς τε γέρων πέτρα τε τέτυκται
them and after a-fisherman both old a-rock and is-wrought
λεπράς, ἐφ᾽ ᾗ σπεύδων μέγα δίκτυον ἐς βόλον ἕλκει
rugged on which hastening great net for a-cast he-drags

ὁ πρέσβυς, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς.
the old-man toiling — mightily to-a-man like
φαίης κεν γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν·
you-would-say — of-limbs him all-the strength to-fish-with
ὧδέ οἱ ᾠδήκαντι κατ᾽ αὐχένα πάντοθεν ἶνες
so to-him have-swollen along the-neck on-all-sides sinews
καὶ πολιῷ περ ἐόντι, τὸ δὲ σθένος ἄξιον ἄβας.
and gray though being the and strength worthy of-youth
τυτθὸν δ᾽ ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος
little and as-much away from-the-sea-worn old-man
πυρναίαις σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά,
with-ruddy grapes fairly is-laden a-vineyard
τὰν ὀλίγος τις κῶρος ἐφ᾽ αἱμασιαῖσι φυλάσσει
which small a boy on the-walls guards
ἥμενος· ἀμφὶ δέ νιν δύ᾽ ἀλώπεκες ἁ μὲν ἀν᾽ ὄρχως
sitting around and him two foxes the-one indeed along the-rows
φοιτᾷ σινομένα τὰν τρώξιμον, ἁ δ᾽ ἐπὶ πήρᾳ
roams ravaging the ripe-grapes the-other and at the-wallet
πάντα δόλον κεύθοισα τὸ παιδίον οὐ πρὶν ἀνησεῖν
every trick plotting the boy not before to-let-go
φατὶ πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξῃ.
she-says before than breakfastless on dry(-fare) she-sets(-him)
αὐτὰρ ὅγ᾽ ἀνθερίκοισι καλὰν πλέκει ἀκριδοθήραν
but he with-asphodel-stalks fine plaits a-locust-cage
σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ οὔτέ τι πήρας
with-rush fitting is-a-care and to-him neither at-all of-wallet
οὔτε φυτῶν τοσσῆνον, ὅσον περὶ πλέγματι γαθεῖ.
nor of-plants so-much as over the-plaiting he-rejoices
παντᾷ δ᾽ ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος·
everywhere and round the-cup is-spread pliant acanthus

αἰολικόν τι θέαμα, τέρας κέ τυ θυμὸν ἀτύξαι.
intricate a sight a-marvel — you in-heart would-amaze
τῶ μὲν ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγά τ' ἔδωκα
for-it indeed I to-a-ferryman Calydonian a-goat both gave
ὦνον καὶ τυρόεντα μέγαν λευκοῖο γάλακτος·
as-price and a-cheese great of-white milk
οὐδέ τί πω ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ' ἔτι κεῖται
nor at-all yet to lip my has-it-touched but still it-lies
ἄχραντον. τῷ καί τυ μάλα πρόφρων ἀρεσαίμαν,
unsullied with-it also you very gladly I-would-please
αἴκά μοι τὺ φίλος τὸν ἐφίμερον ὕμνον ἀείσῃς.
if to-me you friend the lovely hymn sing
κοὔτί τυ κερτομέω. πόταγ' ὦγαθέ· τὰν γὰρ ἀοιδὰν
and-not-at-all you I-mock come-on O-good-sir the for song
οὔτί πᾳ εἰς Ἀΐδαν γε τὸν ἐκλελάθοντα φυλαξεῖς.
not-at-all somehow to Hades indeed the oblivious will-you-keep
ΘΥΡΣΙΣ Ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.
Begin of-pastoral Muses dear begin of-song
Θύρσις ὅδ' ὡξ Αἴτνας, καὶ Θύρσιδος ἁδέα φωνά.
Thyrsis this the-one-from Etna and of-Thyrsis sweet the-voice
πᾷ ποκ' ἄρ' ἦσθ', ὅκα Δάφνις ἐτάκετο, πᾷ ποκα Νύμφαι;
where ever then were-you when Daphnis was-wasting where ever Nymphs
ἢ κατὰ Πηνειῶ καλὰ τέμπεα; ἢ κατὰ Πίνδω;
whether along of-Peneus fair vales or along of-Pindus
οὐ γὰρ δὴ ποταμοῖο μέγαν ῥόον εἶχετ' Ἀνάπω,
not for indeed of-the-river great stream you-held of-Anapus
οὐδ' Αἴτνας σκοπιάν, οὐδ' Ἄκιδος ἱερὸν ὕδωρ.
nor of-Etna the-peak nor of-Acis sacred water
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.
begin of-pastoral Muses dear begin of-song

τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,
him indeed jackals him wolves howled-for
τῆνον χὠκ δρυμοῖο λέων ἔκλαυσε θανόντα.
him and-from the-thicket a-lion wept-for dead
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.
begin of-pastoral Muses dear begin of-song
πολλαί οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
many to-him at feet cows many and — bulls
πολλαὶ δ' αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο.
many and again heifers and calves lamented
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.
begin of-pastoral Muses dear begin of-song
ἦνθ' Ἑρμῆς πράτιστος ἀπ' ὤρεος, εἶπε δέ· "Δάφνι,
came Hermes first from the-mountain said and Daphnis
τίς τυ κατατρύχει; τίνος ὦγαθὲ τόσσον ἐρᾶσαι;"
who you wears-down for-whom O-good-sir so-much do-you-love
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.
begin of-pastoral Muses dear begin of-song
ἦνθον τοὶ βοῦται, τοὶ ποιμένες, ὠπόλοι ἦνθον·
came the cowherds the shepherds the-goatherds came
πάντες ἀνηρώτευν, τί πάθοι κακόν. ἦνθ' ὁ Πρίηπος
all asked what he-suffered ill came — Priapus
κἄφα· "Δάφνι τάλαν, τί τὺ τάκεαι, ἁ δέ τε κώρα
and-said Daphnis wretch why you waste-away the and — girl
πάσας ἀνὰ κράνας, πάντ' ἄλσεα ποσσὶ φορεῖται —
all through springs all groves on-feet is-borne
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς —
begin of-pastoral Muses dear begin of-song
ζάτεισ'; ἃ δύσερώς τις ἄγαν καὶ ἀμήχανος ἐσσί.
seeking ah unlucky-in-love somewhat too and helpless you-are

βούτας μὰν ἐλέγευ, νῦν δ' αἰπόλῳ ἀνδρὶ ἔοικας.
cowherd indeed you-were-called now and to-a-goatherd man you-are-like
ὠπόλος ὅκκ' ἐσορῇ τὰς μηκάδας οἷα βατεῦνται,
the-goatherd whenever he-sees the bleating(-goats) how they-are-mounted
τάκεται ὀφθαλμώς, ὅτι οὐ τράγος αὐτὸς ἔγεντο.
wastes-away in-eyes that not a-he-goat himself he-was-born
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.
begin of-pastoral Muses dear begin of-song
καὶ τὺ δ' ἐπεί κ' ἐσορῇς τὰς παρθένος οἷα γελᾶντι,
and you and when — you-see the maidens how they-laugh
τάκεαι ὀφθαλμώς, ὅτι οὐ μετὰ ταῖσι χορεύεις."
waste-away in-eyes that not among them you-dance
τὼς δ' οὐδὲν ποτελέξαθ' ὁ βουκόλος, ἀλλὰ τὸν αὐτῶ
them and nothing answered the cowherd but the his-own
ἄνυε πικρὸν ἔρωτα, καὶ ἐς τέλος ἄνυε μοίρας·
he-endured bitter love and to the-end he-endured of-fate
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ' ἀοιδᾶς.
begin of-pastoral Muses again begin of-song
ἦνθέ γε μὰν ἁδεῖα καὶ ἁ Κύπρις γελάοισα,
came indeed then sweet also — Cypris laughing
λάθρια μὲν γελάοισα, βαρὺν δ' ἀνὰ θυμὸν ἔχοισα,
secretly indeed laughing heavy and in heart holding
κεἶπε· "τύ θην τὸν Ἔρωτα κατεύχεο Δάφνι λυγιξεῖν·
and-said you surely — Love vowed Daphnis to-throw
ἦ ῥ' οὐκ αὐτὸς Ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης;"
truly then not yourself Love by grievous were-you-thrown
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ' ἀοιδᾶς.
begin of-pastoral Muses again begin of-song
τὰν δ' ἄρα χὠ Δάφνις ποταμείβετο· "Κύπρι βαρεῖα,
her and then and Daphnis answered Cypris harsh

Κύπρι νεμεσσατά, Κύπρι θνατοῖσιν ἀπεχθής·
Cypris resentful Cypris to-mortals hateful
ἤδη γὰρ φράσδῃ πάνθ' ἅλιον ἅμμι δεδύκειν·
already for you-think all sun for-us to-have-set
Δάφνις κὴν Ἀίδα κακὸν ἔσσεται ἄλγος Ἔρωτι.
Daphnis even-in Hades bitter will-be grief to-Love
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ' ἀοιδᾶς.
begin of-pastoral Muses again begin of-song
ὦ λέγεται τὰν Κύπριν ὁ βουκόλος — ἔρπε ποτ' Ἴδαν,
where it-is-said — Cypris the cowherd go to Ida
ἔρπε ποτ' Ἀγχίσην. τηνεῖ δρύες, ἔνθα κύπειρος·
go to Anchises there oaks here galingale
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.
begin of-pastoral Muses dear begin of-song
ὡραῖος χὤδωνις, ἐπεὶ καὶ μᾶλα νομεύει.
ripe and-Adonis since also flocks he-pastures
καὶ πτῶκας βάλλει καὶ θηρία πάντα διώκει.
both hares he-strikes and beasts all he-chases
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.
begin of-pastoral Muses dear begin of-song
αὖθις ὅπως στασῇ Διομήδεος ἆσσον ἰοῖσα,
again how you-will-stand Diomedes near going
καὶ λέγε· τὸν βούταν νικῶ Δάφνιν, ἀλλὰ μάχευ μοι."
and say the cowherd I-conquer Daphnis but fight with-me
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ' ἀοιδᾶς.
begin of-pastoral Muses again begin of-song
ὦ λύκοι, ὦ θῶες, ὦ ἀν' ὤρεα φωλάδες ἄρκτοι,
O wolves O jackals O among the-mountains denned bears
χαίρεθ'. ὁ βουκόλος ὔμμιν ἐγὼ Δάφνις οὐκέτ' ἀν' ὕλαν,
farewell the cowherd to-you I Daphnis no-longer through the-wood

οὐκέτ᾽ ἀνὰ δρυμώς, οὐκ ἄλσεα. χαῖρ᾽ Ἀρέθοισα,
no-longer through the-thickets not the-groves farewell Arethusa
καὶ ποταμοί, τοὶ χεῖτε καλὸν κατὰ Θύμβριδος ὕδωρ.
and rivers which pour fair down of-Thymbris water
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ᾽ ἀοιδᾶς.
begin of-pastoral Muses again begin of-song
Δάφνις ἐγὼν ὅδε τῆνος ὁ τὰς βόας ὧδε νομεύων,
Daphnis I this that the-one the cows here pasturing
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.
Daphnis the-one the bulls and calves here watering
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ᾽ ἀοιδᾶς.
begin of-pastoral Muses again begin of-song
ὦ Πὰν Πάν, εἴτ᾽ ἐσσὶ κατ᾽ ὄρεα μακρὰ Λυκαίω,
O Pan Pan whether you-are on mountains tall of-Lycaeus
εἴτε τύ γ᾽ ἀμφιπολεῖς μέγα Μαίναλον, ἔνθ᾽ ἐπὶ νᾶσον
or you indeed you-haunt great Maenalus come to the-island
τὰν Σικελάν, Ἑλίκας δὲ λίπ᾽ ἠρίον αἰπύ τε σᾶμα
the Sicilian of-Helice and leave the-mound steep and the-tomb
τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγητόν.
that of-the-son-of-Lycaon which even to-the-blessed admired
λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ᾽ ἀοιδᾶς.
cease of-pastoral Muses come cease of-song
ἔνθ᾽ ὦναξ καὶ τάνδε φέρευ πακτοῖο μελίπνουν
come O-lord and this take of-compacted honey-breathing
ἐκ κηρῶ σύριγγα καλάν, περὶ χείλος ἑλικτάν.
from wax pipe fair about the-lip curved
ἦ γὰρ ἐγὼν ὑπ᾽ ἔρωτος ἐς Ἄιδαν ἕλκομαι ἤδη.
truly for I by love to Hades am-dragged already
λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ᾽ ἀοιδᾶς.
cease of-pastoral Muses come cease of-song

νῦν δ' ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ' ἄκανθαι,
now and violets indeed bear brambles bear and thorns
ἁ δὲ καλὰ νάρκισσος ἐπ' ἀρκεύθοισι κομάσαι·
the and fair narcissus on junipers bloom
Δάφνις ἐπεὶ θνάσκει· καὶ τὼς κύνας ὤλαφος ἕλκοι,
Daphnis since dies and the hounds the-stag drag
κἠξ ὀρέων τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.
and-from the-mountains the owls with-nightingales vie
λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ' ἀοιδᾶς.
cease of-pastoral Muses come cease of-song
χὠ μὲν τόσσ' εἰπὼν ἀπεπαύσατο· τὸν δ' Ἀφροδίτα
and-he indeed so-much having-said ceased him and Aphrodite
ἤθελ' ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπει
wished to-raise-up the indeed but threads all had-run-out
ἐκ Μοιρᾶν, χὠ Δάφνις ἔβα ῥόον. ἔκλυσε δίνα
from the-Fates and Daphnis went to-the-stream washed the-eddy
τὸν Μοίσαις φίλον ἄνδρα, τὸν οὐ Νύμφαισιν ἀπεχθῆ.
the to-the-Muses dear man the not to-the-Nymphs hateful
λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ' ἀοιδᾶς.
cease of-pastoral Muses come cease of-song
καὶ τὺ δίδου τὰν αἶγα τό τε σκύφος, ὥς κεν ἀμέλξας
and you give the goat the and bowl so-that — having-milked
σπείσω ταῖς Μοίσαις. ὦ χαίρετε πολλάκι Μοῖσαι,
I-may-pour to-the Muses O farewell many-times Muses
χαίρετ'· ἐγὼ δ' ὔμμιν καὶ ἐς ὕστερον ἄδιον ᾄσω.
farewell I and to-you also in later sweeter will-sing
ΑΙΠΟΛΟΣ πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα Θύρσι γένοιτο,
full to-you of-honey the fair mouth Thyrsis may-be
πλῆρές τοι σχαδόνων, καὶ ἀπ' Αἰγίλω ἰσχάδα τρώγοις
full to-you of-honeycombs and from Aegilus a-dried-fig may-you-munch

ἁδεῖαν, τέττιγος ἐπεὶ τύγα φέρτερον ᾄδεις.
sweet than-the-cicada since you better you-sing
ἠνίδε τοι τὸ δέπας· θᾶσαι φίλος, ὡς καλὸν ὄσδει·
look to-you the cup see friend how sweetly it-smells
Ὡρᾶν πεπλύσθαί νιν ἐπὶ κράναισι δοκησεῖς.
of-the-Hours to-have-been-washed it at the-springs you-will-think
ὦδ' ἴθι Κισσαίθα, τὺ δ' ἄμελγέ νιν. αἱ δὲ χίμαιραι,
here come Cissaetha you and milk her you and she-goats
οὐ μὴ σκιρτασεῖτε, μὴ ὁ τράγος ὔμμιν ἀναστῇ.
not — skip lest the he-goat on-you rise-up

Φαρμακεύτριαι

II · THE SORCERESS

Simaetha, deserted by the athlete Delphis, works a love-charm by night with her maid Thestylis, burning barley, bay, and wax and whirling a bronze bull-roarer, with a refrain to the wryneck. Alone, she tells the Moon how she saw Delphis at Artemis' festival, fell sick with love, sent for him, and gave herself to him; now he has stayed away twelve days, and she hears he loves another. She will try her charms, and poison if they fail.

Πᾷ μοι ταὶ δάφναι; φέρε Θεστυλί· πᾷ δὲ τὰ φίλτρα;
Where to-me the bay-leaves bring Thestylis where and the love-charms
στέψον τὰν κελέβαν φοινικέῳ οἰὸς ἀώτῳ,
wreathe the bowl with-crimson of-sheep fleece
ὡς τὸν ἐμὸν βαρὺν ἐῦντα φίλον καταθύσομαι ἄνδρα,
that the my heavy being dear I-may-bind-by-spells man
ὅς μοι δωδεκαταῖος ἀφ' ὧ τάλας οὐδέποθ' ἵκει,
who to-me twelfth-day from when wretch never has-come
οὐδ' ἔγνω πότερον τεθνάκαμες ἢ ζοοὶ εἰμές.
nor knew whether we-are-dead or alive we-are

οὐδὲ θύρας ἄραξεν ἀνάρσιος. ἦ ῥά οἱ ἀλλᾷ
nor doors knocked cruel truly then his elsewhere
ᾤχετ' ἔχων ὅ τ' Ἔρως ταχινὰς φρένας ἄ τ' Ἀφροδίτα;
has-gone having — both Love fickle heart — and Aphrodite
βασεῦμαι ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν
I-will-go to the of-Timagetus wrestling-school
αὔριον, ὥς νιν ἴδω, καὶ μέμψομαι οἷά με ποιεῖ.
tomorrow that him I-may-see and I-will-reproach what-things me he-does
νῦν δέ νιν ἐκ θυέων καταθύσομαι. ἀλλὰ Σελάνα,
now and him with burnt-offerings I-will-bind-by-spells but Moon
φαῖνε καλόν· τὶν γὰρ ποταείσομαι ἄσυχα, δαῖμον,
shine fair to-you for I-will-sing softly goddess
τᾷ χθονίᾳ θ' Ἑκάτα, τὰν καὶ σκύλακες τρομέοντι
to-the infernal and Hecate whom even whelps tremble-at
ἐρχομέναν νεκύων ἀνά τ' ἠρία καὶ μέλαν αἷμα.
going of-the-dead among both the-tombs and dark blood
χαῖρ' Ἑκάτα δασπλῆτι, καὶ ἐς τέλος ἄμμιν ὀπάδει.
hail Hecate dread and to the-end us attend
φάρμακα ταῦτ' ἔρδοισα χερείονα μήτέ τι Κίρκης
drugs these working worse neither at-all than-Circe
μήτέ τι Μηδείας μήτε ξανθᾶς Περιμήδας.
nor at-all than-Medea nor than-golden Perimede
Ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Wryneck draw you that my to house the man
ἄλφιτά τοι πρᾶτον πυρὶ τάκεται· ἀλλ' ἐπίπασσε
barley-groats to-you first in-the-fire melt but sprinkle(-them)
Θεστυλί. δειλαία, πᾷ τὰς φρένας ἐκπεπότασαι;
Thestylis wretched where the wits have-you-flown
ἦ ῥά γε τρισμυσαρὰ καὶ τὶν ἐπίχαρμα τέτυγμαι;
truly then indeed thrice-loathsome even to-you a-mockery have-I-become

πάσσ᾽ ἅμα καὶ λέγε ταῦτα· "τὰ Δέλφιδος ὀστία πάσσω."
sprinkle at-once and say these the of-Delphis bones I-sprinkle

ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
wryneck draw you that my to house the man

Δέλφις ἔμ᾽ ἀνίασεν· ἐγὼ δ᾽ ἐπὶ Δέλφιδι δάφναν
Delphis me pained I and against Delphis bay

αἴθω· χὡς αὔτα λακεῖ μέγα καππυρίσασα
burn and-as it crackles loudly having-caught-fire

κἠξαπίνας ἄφθη, κοὐδὲ σποδὸν εἴδομες αὐτᾶς,
and-suddenly is-kindled and-not-even ash we-saw of-it

οὕτω τοι καὶ Δέλφις ἐνὶ φλογὶ σάρκ᾽ ἀμαθύνοι.
so — also Delphis in the-flame flesh may-waste

ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
wryneck draw you that my to house the man

ὡς τοῦτον τὸν κηρὸν ἐγὼ σὺν δαίμονι τάκω,
as this the wax I with the-goddess melt

ὣς τάκοιθ᾽ ὑπ᾽ ἔρωτος ὁ Μύνδιος αὐτίκα Δέλφις.
so may-melt by love — of-Myndus at-once Delphis

χὡς δινεῖθ᾽ ὅδε ῥόμβος ὁ χάλκεος ἐξ Ἀφροδίτας,
and-as whirls this bull-roarer the brazen from Aphrodite

ὣς τῆνος δινοῖτο ποθ᾽ ἁμετέραισι θύραισιν.
so that-one may-whirl at our doors

ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
wryneck draw you that my to house the man

νῦν θυσῶ τὰ πίτυρα. τὺ δ᾽ Ἄρτεμι καὶ τὸν ἐν Ἅιδα
now I-will-burn the bran you and Artemis even the in Hades

κινήσαις ἀδάμαντα καὶ εἴ τί περ ἀσφαλὲς ἄλλο.
may-move adamant and if any indeed steadfast other

Θεστυλί, ταὶ κύνες ἄμμιν ἀνὰ πτόλιν ὠρύονται.
Thestylis the dogs for-us through the-town howl

ἁ θεὸς ἐν τριόδοισι· τὸ χαλκίον ὡς τάχος ἄχει.
the goddess at the-crossroads the gong as quick sound

ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
wryneck draw you that my to house the man

ἠνίδε σιγῇ μὲν πόντος, σιγῶντι δ' ἀῆται·
look is-silent indeed the-sea are-silent and the-winds

ἁ δ' ἐμὰ οὐ σιγῇ στέρνων ἔντοσθεν ἀνία,
the but my not is-silent breast within pain

ἀλλ' ἐπὶ τήνῳ πᾶσα καταίθομαι, ὅς με τάλαιναν
but for that-one all I-burn who me wretched

ἀντὶ γυναικὸς ἔθηκε κακὰν καὶ ἀπάρθενον ἦμεν.
instead-of a-wife made base and unmaidenly to-be

ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
wryneck draw you that my to house the man

ἐς τρὶς ἀποσπένδω καὶ τρὶς τάδε πότνια φωνέω·
up-to thrice I-pour-libation and thrice these-things lady I-say

εἴτε γυνὰ τήνῳ παρακέκλιται εἴτε καὶ ἀνήρ,
whether a-woman by-him reclines or also a-man

τόσσον ἔχοι λάθας, ὅσσόν ποκα Θησέα φαντὶ
so-much may-be-have of-forgetfulness as once Theseus they-say

ἐν Δίᾳ λασθῆμεν ἐυπλοκάμω Ἀριάδνας.
in Dia to-have-forgotten of-fair-tressed Ariadne

ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
wryneck draw you that my to house the man

ἱππομανὲς φυτόν ἐστι παρ' Ἀρκάσι· τῷ δ' ἐπὶ πᾶσαι
horse-madness a-plant is among the-Arcadians it and for all

καὶ πῶλοι μαίνονται ἀν' ὤρεα καὶ θοαὶ ἵπποι.
both colts run-mad over the-mountains and swift mares

ὡς καὶ Δέλφιν ἴδοιμι, καὶ ἐς τόδε δῶμα περάσαι
so also Delphis may-I-see and to this house to-pass

μαινομένῳ ἴκελος λιπαρᾶς ἔκτοσθε παλαίστρας.
to-a-madman like the-sleek out-of wrestling-school

ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
wryneck draw you that my to house the man

τοῦτ᾽ ἀπὸ τᾶς χλαίνας τὸ κράσπεδον ὤλεσε Δέλφις,
this from the cloak the fringe lost Delphis

ὡγὼ νῦν τίλλοισα κατ᾽ ἀγρίῳ ἐν πυρὶ βάλλω.
which-I now plucking down wild into fire I-cast

αἰαῖ Ἔρως ἀνιηρέ, τί μευ μέλαν ἐκ χροὸς αἷμα
alas Love grievous why my dark from flesh blood

ἐμφὺς ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας;
clinging like marsh-born all out leech have-you-drunk

ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
wryneck draw you that my to house the man

σαύραν τοι τρίψασα ποτὸν κακὸν αὔριον οἰσῶ.
a-lizard to-you having-pounded a-potion evil tomorrow I-will-bring

Θεστυλί, νῦν δὲ λαβοῖσα τὺ τὰ θρόνα ταῦθ᾽ ὑπόμαξον
Thestylis now and taking you the herbs these smear

τᾶς τήνω φλιᾶς καθ᾽ ὑπέρτερον, ἃς ἔτι καὶ νύξ,
of-the of-him lintel on upper while still also night

καὶ λέγ᾽ ἐπιφθύζοισα· "τὰ Δέλφιδος ὀστία μάσσω."
and say spitting the of-Delphis bones I-knead

ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
wryneck draw you that my to house the man

νῦν δὴ μώνα ἐοῖσα πόθεν τὸν ἔρωτα δακρύσω;
now indeed alone being whence the love shall-I-bewail

ἐκ τίνος ἄρξωμαι; τίς μοι κακὸν ἄγαγε τοῦτο;
from what shall-I-begin who to-me evil brought this

ἦνθ᾽ ἁ τῶὐβούλοιο κανηφόρος ἄμμιν Ἀναξὼ
came the of-Eubulus basket-bearer our Anaxo

ἄλσος ἐς Ἀρτέμιδος, τᾷ δὴ τόκα πολλὰ μὲν ἄλλα
grove to of-Artemis to-whom indeed then many indeed other
θηρία πομπεύεσκε περισταδόν, ἐν δὲ λέαινα.
beasts were-led-in-procession around among and a-lioness
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
mark my the love whence it-came lady Moon
καί μ' ἁ Θευχαρίδα Θρᾳσσα τροφὸς ἁ μακαρῖτις
and me the of-Theucharidas Thracian nurse the late
ἀγχίθυρος ναίοισα κατεύξατο καὶ λιτάνευσε
next-door living begged and entreated
τὰν πομπὰν θάσασθαι· ἐγὼ δέ οἱ ἁ μεγάλοιτος
the procession to-see I and her the ill-fated
ὠμάρτευν βύσσοιο καλὸν σύροισα χιτῶνα,
went-along of-linen fair trailing tunic
καὐμφιστειλαμένα τὰν ξυστίδα τὰν Κλεαρίστας.
and-wrapping-about the robe the of-Clearista
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
mark my the love whence it-came lady Moon
ἤδη δ' εὖσα μέσον κατ' ἀμαξιτόν, ᾗ τὰ Λύκωνος,
already and being midway along the-highway where the of-Lycon
εἶδον ὁμοῦ Δέλφιν τε καὶ Εὐδάμιππον ἰόντας.
I-saw together Delphis both and Eudamippus going
τοῖς δ' ἦν ξανθοτέρα μὲν ἑλιχρύσοιο γενειάς,
to-them and was more-golden indeed than-helichryse the-beard
στήθεα δὲ στίλβοντα πολὺ πλέον ἢ τὺ Σελάνα,
breasts and gleaming much more than you Moon
ὡς ἀπὸ γυμνασίοιο καλὸν πόνον ἄρτι λιπόντων.
as from the-gymnasium fair labor just having-left
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
mark my the love whence it-came lady Moon

χὡς ἴδον, ὡς ἐμάνην, ὥς μευ πέρι θυμὸς ἰάφθη
and-as I-saw so I-went-mad so my about heart was-smitten
δειλαίας· τὸ δὲ κάλλος ἐτάκετο, κοὔτέ τι πομπᾶς
wretched the and beauty wasted and-neither at-all of-procession
τήνας ἐφρασάμαν, οὐδ' ὡς πάλιν οἴκαδ' ἀπῆνθον
that I-heeded nor how back home I-went
ἔγνων· ἀλλά μέ τις καπυρὰ νόσος ἐξεσάλαξε,
I-knew but me some burning sickness shook
κείμαν δ' ἐν κλιντῆρι δέκ' ἄματα καὶ δέκα νύκτας.
I-lay and on couch ten days and ten nights
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
mark my the love whence it-came lady Moon
καί μευ χρὼς μὲν ὁμοῖος ἐγίνετο πολλάκι θάψῳ,
and my skin indeed like became often to-fustic
ἔρρευν δ' ἐκ κεφαλᾶς πᾶσαι τρίχες, αὐτὰ δὲ λοιπὰ
fell and from head all hairs mere and left
ὀστῖ' ἔτ' ἦς καὶ δέρμα. καὶ ἐς τίνος οὐκ ἐπέρασα
bones still were and skin and to whose not did-I-go
ἢ ποίας ἔλιπον γραίας δόμον, ἅτις ἐπᾳ̣̂δεν;
or of-what did-I-leave old-woman house who chanted-spells
ἀλλ' ἦς οὐδὲν ἐλαφρόν· ὁ δέ χρόνος ἄνυτο φεύγων.
but was nothing light the and time was-running fleeing
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
mark my the love whence it-came lady Moon
χοὕτω τᾷ δούλᾳ τὸν ἀλαθέα μῦθον ἔλεξα·
and-so to-the slave the true word I-told
"εἰ δ' ἄγε Θεστυλί μοι χαλεπᾶς νόσω εὑρέ τι μῆχος.
if and come Thestylis for-me of-hard sickness find some cure
πᾶσαν ἔχει με τάλαιναν ὁ Μύνδιος· ἀλλὰ μολοῖσα
wholly holds me wretched the of-Myndus but going

τήρησον ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν·
watch at the of-Timagetus wrestling-school
τηνεῖ γὰρ φοιτᾷ, τηνεῖ δέ οἱ ἁδὺ καθῆσθαι."
there for he-haunts there and to-him sweet to-sit
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
mark my the love whence it-came lady Moon
"κἠπεί κά νιν ἐόντα μάθῃς μόνον, ἄσυχα νεῦσον,
and-when — him being you-learn alone softly nod
κεἴφ' ὅτι Σιμαίθα τυ καλεῖ, καὶ ὑφαγέο τᾇδε."
and-say that Simaetha you calls and lead-him-on here
ὣς ἐφάμαν· ἁ δ' ἦνθε καὶ ἄγαγε τὸν λιπαρόχρων
so I-spoke she and went and brought the sleek-skinned
εἰς ἐμὰ δώματα Δέλφιν· ἐγὼ δέ νιν ὡς ἐνόησα
to my house Delphis I and him when noticed
ἄρτι θύρας ὑπὲρ οὐδὸν ἀμειβόμενον ποδὶ κούφῳ —
just of-the-door over the-threshold crossing with-foot light
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα —
mark my the love whence it-came lady Moon
πᾶσα μὲν ἐψύχθην χιόνος πλέον, ἐν δὲ μετώπῳ
all indeed I-froze than-snow more on and forehead
ἱδρώς μευ κοχύδεσκεν ἴσον νοτίαισιν ἐέρσαις,
sweat my poured like to-dewy drops
οὐδέ τι φωνᾶσαι δυνάμαν, οὐδ' ὅσσον ἐν ὕπνῳ
nor at-all to-speak was-I-able not-even as-much-as in sleep
κνυζεῦνται φωνεῦντα φίλαν ποτὶ ματέρα τέκνα·
whimper calling dear to mother children
ἀλλ' ἐπάγην δαγῦδι καλὸν χρόα πάντοθεν ἴσα.
but I-was-stiffened like-a-doll fair skin all-over alike
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
mark my the love whence it-came lady Moon

καί μ᾽ ἐσιδὼν ὥστοργος, ἐπὶ χθονὸς ὄμματα πήξας
and me having-looked-at the-loveless on the-ground eyes fixing
ἕζετ᾽ ἐπὶ κλιντῆρι καὶ ἑζόμενος φάτο μῦθον·
sat on the-couch and sitting spoke a-word
ἦ ῥά με Σιμαίθα τόσον ἔφθασας, ὅσσον ἐγώ θην
truly then me Simaetha so-much you-outran as-much-as I surely
πρᾶν ποκα τὸν χαρίεντα τρέχων ἔφθασσα Φιλῖνον,
lately once the graceful running outran Philinus
ἐς τὸ τεὸν καλέσασα τόδε στέγος ἦ με παρῆμεν.
to the your inviting this house than me to-be-present
φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.
mark my the love whence it-came lady Moon
ἦνθον γάρ κεν ἐγώ, ναὶ τὸν γλυκὺν ἦνθον Ἔρωτα,
I-would-have-come for — I yes-by the sweet I-would-have-come Love
ἢ τρίτος ἠὲ τέταρτος ἐὼν φίλος αὐτίκα νυκτός,
either third or fourth being friend at-once at-night
μᾶλα μὲν ἐν κόλποισι Διωνύσοιο φυλάσσων,
apples indeed in bosom of-Dionysus keeping
κρατὶ δ᾽ ἔχων λεύκαν, Ἡρακλέος ἱερὸν ἔρνος,
on-head and having poplar of-Heracles sacred sprig
πάντοθε πορφυρέαισι περὶ ζώστραισιν ἑλικτάν.
all-about with-purple round with-bands twined
φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.
mark my the love whence it-came lady Moon
καί μ᾽ εἰ μέν κ᾽ ἐδέχεσθε, τάδ᾽ ἦς φίλα· καὶ γὰρ ἐλαφρὸς
and me if indeed — you-had-received these were dear and for nimble
καὶ καλὸς πάντεσσι μετ᾽ ἠιθέοισι καλεῦμαι·
and handsome all among the-youths I-am-called
εὗδόν τ᾽, εἴ κε μόνον τὸ καλὸν στόμα τεῦς ἐφίλασα·
I-would-have-slept and if — only the fair mouth your I-had-kissed

εἰ δ' ἀλλᾷ μ' ὠθεῖτε καὶ ἁ θύρα εἴχετο μοχλῷ,
if but elsewhere me you-bad-thrust and the door was-held with-bar
πάντως καὶ πελέκεις καὶ λαμπάδες ἦνθον ἐφ' ὑμέας.
by-all-means both axes and torches would-have-come against you
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
mark my the love whence it-came lady Moon
νῦν δὲ χάριν μὲν ἔφαν τᾷ Κύπριδι πρᾶτον ὀφείλειν,
now and thanks indeed I-said — to-Cypris first to-owe
καὶ μετὰ τὰν Κύπριν τύ με δευτέρα ἐκ πυρὸς εἵλευ
and after — Cypris you me second from the-fire took
ὦ γύναι ἐσκαλέσασα τεὸν ποτὶ τοῦτο μέλαθρον
O woman having-called-in your to this chamber
αὕτως ἡμίφλεκτον· Ἔρως δ' ἄρα καὶ Λιπαραίω
so half-burned Love and then even than-the-Lipari
πολλάκις Ἡφαίστοιο σέλας φλογερώτερον αἴθει.
often Hephaestus a-blaze more-flaming kindles
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
mark my the love whence it-came lady Moon
"σὺν δὲ κακαῖς μανίαις καὶ παρθένον ἐκ θαλάμοιο
with and evil madnesses both maiden from chamber
καὶ νύμφαν ἐφόβησ' ἔτι δέμνια θερμὰ λιποῖσαν
and bride he-scares still bed warm having-left
ἀνέρος." ὣς ὁ μὲν εἶπεν· ἐγὼ δέ οἱ ἁ ταχυπειθὴς
of-husband so he indeed spoke I and to-him the quick-believing
χειρὸς ἐφαψαμένα μαλακῶν ἔκλιν' ἐπὶ λέκτρων.
by-the-hand taking soft I-drew-down onto couch
καὶ ταχὺ χρὼς ἐπὶ χρωτὶ πεπαίνετο, καὶ τὰ πρόσωπα
and quickly skin on skin was-warmed and the faces
θερμότερ' ἦς ἢ πρόσθε, καὶ ἐψιθυρίσδομες ἁδύ·
hotter were than before and we-whispered sweetly

χῶς κά τοι μὴ μακρὰ φίλα θρυλέοιμι Σελάνα,
and-that — to-you not long dear I-chatter Moon
ἐπράχθη τὰ μέγιστα, καὶ ἐς πόθον ἤνθομες ἄμφω.
was-done the greatest and to desire we-came both
κοὔτέ τι τήνος ἐμὶν ἐπεμέμψατο μέσφα τό γ' ἐχθές,
and-neither at-all he me blamed until — indeed yesterday
οὔτ' ἐγὼ αὖ τήνῳ. ἀλλ' ἦνθέ μοι ἅ τε Φιλίστας
nor I again him but came to-me the both of-Philista
μάτηρ τᾶς ἀλαᾶς αὐλητρίδος ἅ τε Μελιξοῦς
mother of-the wandering flute-girl the and of-Melixo
σάμερον, ἀνίκα πέρ τε ποτ' ὠρανὸν ἔτρεχον ἵπποι
today just-when — and toward heaven ran the-horses
Ἀὼ τὰν ῥοδόπαχυν ἀπ' Ὠκεανοῖο φέροισαι.
Dawn the rosy-armed from Oceanus bearing
κεἶπέ μοι ἄλλά τε πολλὰ καὶ ὡς ἄρα Δέλφις ἐρᾶται,
and-told me other-things and many and how then Delphis loves
κεἴτέ νιν αὖτε γυναικὸς ἔχει πόθος εἴτε καὶ ἀνδρός,
and-whether him again of-woman holds desire or also of-man
οὐκ ἔφατ' ἀτρεκὲς ἴδμεν, ἀτὰρ τόσον· αἰὲν Ἔρωτος
not she-said truly we-know but so-much always of-Love
ἀκράτω ἐπεχεῖτο καὶ ἐς τέλος ᾤχετο φεύγων,
unmixed he-poured and in the-end went fleeing
καὶ φάτο οἱ στεφάνοισι τὰ δώματα τῆνα πυκάσδειν.
and said to-him with-garlands the house that to-deck
ταῦτά μοι ἁ ξείνα μυθήσατο· ἔστι δ' ἀλαθής·
these-things to-me the stranger told is and true
ἦ γάρ μοι καὶ τρὶς καὶ τετράκις ἄλλοκ' ἐφοίτη,
truly for to-me both thrice and four-times at-other-times he-came
καὶ παρ' ἐμὶν ἐτίθει τὰν Δωρίδα πολλάκις ὄλπαν·
and with me he-left the Dorian often oil-flask

νῦν δέ τε δωδεκαταῖος ἀφ᾽ ὥτέ νιν οὐδὲ ποτεῖδον.
now and — twelfth-day from when him not-even I-have-seen
ἦ ῥ᾽ οὐκ ἄλλό τι τερπνὸν ἔχει, ἁμῶν δὲ λέλασται;
truly then not other some delight he-has us and has-forgotten
νῦν μὲν τοῖς φίλτροις καταθύσομαι· αἰ δ᾽ ἔτι κἠμὲ
now indeed with-the love-charms I-will-bind(-him)-by-spells if but still even-me
160 λυπῇ, τὰν Ἀίδαο πύλαν ναὶ Μοίρας ἀραξεῖ.
he-grieves the of-Hades gate yes-by the-Fates he-will-knock
τοιά οἱ ἐν κίστᾳ κακὰ φάρμακα φαμὶ φυλάσσειν,
such for-him in casket evil drugs I-say to-keep
Ἀσσυρίω δέσποινα παρὰ ξείνοιο μαθοῖσα.
an-Assyrian lady from stranger having-learned
ἀλλὰ τὺ μὲν χαίροισα ποτ᾽ Ὠκεανὸν τρέπε πώλους,
but you indeed farewell toward Oceanus turn the-colts
πότνι᾽· ἐγὼ δ᾽ οἰσῶ τὸν ἐμὸν πόνον ὥσπερ ὑπέσταν.
lady I and will-bear the my pain as I-undertook
165 χαῖρε Σελαναία λιπαρόχροε, χαίρετε δ᾽ ἄλλοι
farewell Moon of-sleek-skin farewell and other
ἀστέρες, εὐκήλοιο κατ᾽ ἄντυγα Νυκτὸς ὀπαδοί.
stars of-tranquil along the-chariot Night attendants

Κῶμος

III · THE SERENADE

A goatherd leaves his goats with Tityrus and serenades Amaryllis at her cave. He brings her ten apples, wishes he were a bee to enter her cave, calls Love a cruel god, and threatens to leap into the sea. He recalls omens of her coldness, and a twitching eye gives him hope. He sings of famous lovers: Hippomenes, Melampus, Adonis, Endymion, and Iason. Then, his head aching, he lies down and says the wolves will eat him.

Κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα, ταὶ δέ μοι αἶγες
I-go-serenading to — Amaryllis the and my goats
βόσκονται κατ᾽ ὄρος, καὶ ὁ Τίτυρος αὐτὰς ἐλαύνει.
graze on the-mountain and — Tityrus them drives
Τίτυρ᾽ ἐμὶν τὸ καλὸν πεφιλαμένε, βόσκε τὰς αἶγας,
Tityrus by-me the beautifully beloved pasture the goats
καὶ ποτὶ τὰν κράναν ἄγε Τίτυρε, καὶ τὸν ἐνόρχαν
and to the spring lead-(them) Tityrus and the ungelded
τὸν Λιβυκὸν κνάκωνα φυλάσσεο, μή τι κορύψῃ.
the Libyan tawny-goat beware lest at-all he-butt-you

Ὦ χαρίεσσ᾽ Ἀμαρυλλί, τί μ᾽ οὐκέτι τοῦτο κατ᾽ ἄντρον
O charming Amaryllis why me no-longer this down the-cave
παρκύπτοισα καλεῖς τὸν ἐρωτύλον; ἦ ῥά με μισεῖς;
peeping-out do-you-call the darling truly then me do-you-hate
ἦ ῥά γέ τοι σιμὸς καταφαίνομαι ἐγγύθεν ἦμεν,
truly then indeed to-you snub-nosed do-I-appear close to-be
νύμφα, καὶ προγένειος; ἀπάγξασθαί με ποησεῖς.
nymph and big-bearded to-hang-myself me you-will-make
ἠνίδε τοι δέκα μᾶλα φέρω· τηνῶθε καθεῖλον,
look to-you ten apples I-bring from-there I-plucked(-them)

ὦ μ᾽ ἐκέλευ καθελεῖν τύ· καὶ αὔριον ἄλλά τοι οἰσῶ.
where me you-bade to-pluck you and tomorrow others to-you I-will-bring

Θᾶσαι μὰν θυμαλγὲς ἐμὸν ἄχος· αἴθε γενοίμαν
Look indeed heart-grieving my anguish would-that I-might-become

ἃ βομβεῦσα μέλισσα καὶ ἐς τεὸν ἄντρον ἱκοίμαν
the buzzing bee and to your cave might-I-come

τὸν κισσὸν διαδὺς καὶ τὰν πτέριν, ᾇ τὺ πυκάσδῃ.
the ivy diving-through and the fern with-which you are-covered

νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεός· ἦ ῥα λεαίνας
now I-know — Love a-grievous god truly then of-a-lioness

μαζὸν ἐθήλαζε, δρυμῷ τέ νιν ἔτρεφε μάτηρ,
breast he-sucked in-a-thicket and him reared mother

ὅς με κατασμύχων καὶ ἐς ὀστίον ἄχρις ἰάπτει.
who me burning-slowly even to the-bone right smites

ὦ τὸ καλὸν ποθορεῦσα, τὸ πᾶν λίθος· ὦ κυάνοφρυ
O the beautifully looking the all stone O dark-browed

νύμφα, πρόσπτυξαί με τὸν αἰπόλον, ὥς τυ φιλάσω.
nymph embrace me the goatherd that you I-may-kiss

ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.
there-is even in empty kisses sweet delight

τὸν στέφανον τῖλαί με κατ᾽ αὐτίκα λεπτὰ ποησεῖς,
the garland to-pluck me in-pieces at-once fine you-will-make

τόν τοι ἐγὼν Ἀμαρυλλὶ φίλα κισσοῖο φυλάσσω
which for-you I Amaryllis dear of-ivy keep

ἀμπλέξας καλύκεσσι καὶ εὐόδμοισι σελίνοις. —
having-twined with-buds and with-fragrant parsley

Ὤμοι ἐγώ, τί πάθω; τί ὁ δύσσοος; οὐχ ὑπακούεις; —
Ah-me I what shall-I-suffer what the wretched not do-you-hearken

Τὰν βαίταν ἀποδὺς ἐς κύματα τηνῶ ἁλεῦμαι,
The coat having-stripped-off into waves there I-will-leap

ὥπερ τὼς θύννως σκοπιάζεται Ὄλπις ὁ γριπεύς·
where the tunnies watches-for Olpis the fisherman
καἴκα δὴποθάνω, τό γε μὰν τεὸν ἁδὺ τέτυκται.
and-if indeed-I-die the indeed indeed your sweet is-made
ἔγνων πρᾶν, ὅκα μευ μεμναμένω, εἰ φιλέεις με,
I-knew lately when of-me thinking whether you-love me
οὐδὲ τὸ τηλέφιλον ποτεμάξατο, τὸ πλατάγημα,
not-even the love-in-absence stuck-fast the poppy-petal
ἀλλ᾽ αὕτως ἁπαλῷ ποτὶ πάχεος ἐξεμαράνθη.
but so on-the-tender against forearm it-withered
εἶπε καὶ ἀγροιῶτις ἀλαθέα κοσκινόμαντις,
said also rustic true-things sieve-diviner
ἁ πρᾶν ποιολογεῦσα Παραιβάτις, οὕνεκ᾽ ἐγὼ μὲν
the lately gathering-herbs Paraebatis that I indeed
τὶν ὅλος ἔγκειμαι, τὺ δέ μευ λόγον οὐδένα ποιῇ.
on-you wholly am-set you and my account none make
ἦ μάν τοι λευκὰν διδυματόκον αἶγα φυλάσσω,
truly indeed for-you white mother-of-twins she-goat I-keep
τάν με καὶ ἁ Μέρμνωνος ἐριθακὶς ἁ μελανόχρως
which me even the of-Mermnon working-girl the swarthy
αἰτεῖ, καὶ δωσῶ οἱ, ἐπεὶ τύ μοι ἐνδιαθρύπτῃ.
asks and I-will-give to-her since you me play-the-coy
Ἄλλεται ὀφθαλμός μευ ὁ δεξιός· ἦ ῥά γ᾽ ἰδησῶ
Twitches eye my the right truly then indeed shall-I-see
αὐτάν; ᾄσεῦμαι ποτὶ τὰν πίτυν ὦδ᾽ ἀποκλινθείς,
her I-will-sing by the pine here leaning
καί κέ μ᾽ ἴσως ποτίδοι, ἐπεὶ οὐκ ἀδαμαντίνα ἐστίν.
and — me perhaps she-may-look-at since not adamant she-is
Ἱππομένης ὅκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι,
Hippomenes when indeed the maiden wished to-marry

μᾶλ᾽ ἐν χερσὶν ἑλὼν δρόμον ἄνυεν· ἁ δ᾽ Ἀταλάντα
apples in hands taking his-race finished the and Atalanta
ὡς ἴδεν, ὡς ἐμάνη, ὡς ἐς βαθὺν ἅλατ᾽ ἔρωτα.
as she-saw so she-went-mad so into deep leapt love
τὰν ἀγέλαν χὠ μάντις ἀπ᾽ Ὄθρυος ἆγε Μελάμπους
the herd and-the seer from Othrys drove Melampus
ἐς Πύλον· ἁ δὲ Βίαντος ἐν ἀγκοίναισιν ἐκλίνθη,
to Pylos she and of-Bias in the-arms was-laid
μάτηρ ἁ χαρίεσσα περίφρονος Ἀλφεσιβοίης.
mother the charming of-wise Alphesiboea
τὰν δὲ καλὰν Κυθέρειαν ἐν ὤρεσι μᾶλα νομεύων
the and fair Cytherea on the-mountains flocks pasturing
οὐχ οὕτως ὤδωνις ἐπὶ πλέον ἄγαγε λύσσας,
not so Adonis to further led of-frenzy
ὥστ᾽ οὐδὲ φθίμενόν νιν ἄτερ μαζοῖο τίθητι;
that not-even dead him without breast she-holds
ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων
enviable indeed to-me he the unturning sleep sleeping
Ἐνδυμίων, ζαλῶ δὲ φίλα γύναι Ἰασίωνα,
Endymion I-envy and dear woman Iasion
ὃς τοσσῆν᾽ ἐκύρησεν, ὅσ᾽ οὐ πευσεῖσθε βέβαλοι.
who such-things obtained as not you-will-learn profane
Ἀλγέω τὰν κεφαλάν, τὶν δ᾽ οὐ μέλει. οὐκέτ᾽ ἀείδω,
I-ache in-the head to-you and not it-matters no-longer I-sing
κεισεῦμαι δὲ πεσών, καὶ τοὶ λύκοι ὧδέ μ᾽ ἔδονται.
I-will-lie and fallen and the wolves here me will-eat
ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γένοιτο.
as honey to-you sweet this down the-throat may-it-be

Νομεῖς Βάττος καὶ Κορύδων

IV · THE HERDSMEN

Battus and Corydon talk while Corydon tends the cows of Aegon, who has gone to the games at Olympia with Milon. Battus mocks the starving herd and the idle pipe, and mourns Amaryllis; Corydon praises Aegon's strength and keeps up hope. A thorn runs into Battus' foot and Corydon pulls it out, and they end gossiping that the old herdsman is still chasing the dark-browed girl.

ΒΑΤΤΟΣ Εἰπέ μοι ὦ Κορύδων, τίνος αἱ βόες; ἦ ῥα Φιλώνδα;
Tell me O Corydon whose the cows truly then of-Philondas

ΚΟΡΥΔΩΝ οὔκ, ἀλλ' Αἴγωνος· βόσκειν δέ μοι αὐτὰς ἔδωκεν.
no but of-Aegon to-graze and to-me them he-gave

ΒΑΤΤΟΣ ἦ πᾴ ψε κρύβδαν τὰ ποθέσπερα πάσας ἀμέλγεις;
truly somehow them secretly the evening-time all do-you-milk

ΚΟΡΥΔΩΝ ἀλλ' ὁ γέρων ὑφίητι τὰ μοσχία κἠμὲ φυλάσσει.
but the old-man puts-under the calves and-me watches

ΒΑΤΤΟΣ αὐτὸς δ' ἐς τίν' ἄφαντος ὁ βουκόλος ᾤχετο χώραν;
himself and to what vanished the cowherd went land

ΚΟΡΥΔΩΝ οὐκ ἄκουσας; ἄγων νιν ἐπ' Ἀλφεὸν ᾤχετο Μίλων.
not did-you-hear taking him to Alpheus went Milon

ΒΑΤΤΟΣ καὶ πόκα τῆνος ἔλαιον ἐν ὀφθαλμοῖσιν ὀπώπει;
and when that-one oil in eyes had-he-seen

ΚΟΡΥΔΩΝ φαντί νιν Ἡρακλῆι βίην καὶ κάρτος ἐρίσδειν.
they-say him with-Heracles in-might and strength to-contend

ΒΑΤΤΟΣ κἄμ' ἔφαθ' ἁ μάτηρ Πολυδεύκεος εἶμεν ἀμείνω.
and-me said the mother than-Polydeuces to-be better

ΚΟΡΥΔΩΝ κᾤχετ' ἔχων σκαπάναν τε καὶ εἴκατι τουτόθε μᾶλα.
and-went having a-mattock both and twenty from-here sheep

ΒΑΤΤΟΣ πείσαι τοι Μίλων καὶ τὼς λύκος αὐτίκα λυσσῆν.
he-would-persuade you-know Milon even the wolves at-once to-go-mad

ΚΟΡΥΔΩΝ ταὶ δαμάλαι δ᾽ αὐτὸν μυκώμεναι αἵδε ποθεῦντι.
the heifers and him lowing these miss

ΒΑΤΤΟΣ δειλαῖαί γ᾽ αὗται· τὸν βουκόλον ὡς κακὸν εὗρον.
wretched indeed these the cowherd how bad found

ΚΟΡΥΔΩΝ ἦ μὰν δειλαῖαί γε, καὶ οὐκέτι λῶντι νέμεσθαι.
truly indeed wretched indeed and no-longer they-wish to-graze

ΒΑΤΤΟΣ τήνας μὲν δή τοι τᾶς πόρτιος αὐτὰ λέλειπται
of-that indeed indeed you-know the calf only are-left

τὠστία. μὴ πρῶκας σιτίζεται ὥσπερ ὁ τέττιξ;
the-bones not on-dew does-it-feed like the cicada

ΚΟΡΥΔΩΝ οὐ Δᾶν, ἀλλ᾽ ὁκὰ μέν νιν ἐπ᾽ Αἰσάροιο νομεύω
no by-Earth but at-one-time indeed it on Aesarus I-pasture

καὶ μαλακῶ χόρτοιο καλὰν κώμυθα δίδωμι,
and of-soft hay a-fine bundle I-give

ἄλλοκα δὲ σκαίρει τὸ βαθύσκιον ἀμφὶ Λάτυμνον.
at-another-time and it-frisks the deep-shaded around Latymnus

ΒΑΤΤΟΣ λεπτὸς μὰν χὠ ταῦρος ὁ πυρρίχος. εἴθε λάχοιεν
lean indeed and-the bull the red would-that might-get(-it)

τοὶ τῶ Λαμπριάδα, τοὶ δαμόται, ὅκκα θύωντι
the of-the Lampriad the demesmen whenever they-sacrifice

τᾷ Ἥρᾳ, τοιόνδε· κακοχράσμων γὰρ ὁ δᾶμος.
— to-Hera such-a-one ill-minded for the deme

ΚΟΡΥΔΩΝ καὶ μὰν ἐς Στομάλιμνον ἐλαύνεται ἔς τε τὰ Φύσκω,
and yet to Stomalimnus he-is-driven to and the of-Physcus

καὶ ποτὶ τὸν Νήαιθον, ὅπᾳ καλὰ πάντα φύοντι,
and to the Neaethus where fine all grow

αἰγίπυρος καὶ κνύζα καὶ εὐώδης μελίτεια.
goat-wheat and fleabane and fragrant balm

ΒΑΤΤΟΣ φεῦ φεῦ βασεῦνται καὶ ταὶ βόες ὦ τάλαν Αἴγων
alas alas will-go also the cows O wretched Aegon

εἰς Ἀΐδαν, ὅκα καὶ τὺ κακᾶς ἠράσσαο νίκας,
to Hades since even you of-evil fell-in-love victory
χά σῦριγξ εὐρῶτι παλύνεται, ἄν ποκ' ἐπάξα.
and-the pipe with-mold is-spattered which once you-fitted-together
ΚΟΡΤΔΩΝ οὐ τήνα γ', οὐ Νύμφας, ἐπεὶ ποτὶ Πῖσαν ἀφέρπων
not that-one indeed not by-the-Nymphs since to Pisa going-off
δῶρον ἐμοί νιν ἔλειπεν· ἐγὼ δέ τις εἰμὶ μελικτάς,
as-a-gift to-me it he-left I and a-kind-of am musician
κεὖ μὲν τὰ Γλαύκας ἀγκρούομαι, εὖ δὲ τὰ Πύρρω.
and-well indeed the of-Glauce I-strike-up well and the of-Pyrrhus
αἰνέω τάν τε Κρότωνα — καλὰ πόλις, ἅ τε Ζάκυνθος —
I-praise — both Croton fair city — and Zacynthus
καὶ τὸ ποταῷον, τὸ Λακίνιον ἅπερ ὁ πύκτας
and the eastward the Lacinian where the boxer
Αἴγων ὀγδώκοντα μόνος κατεδαίσατο μάζας.
Aegon eighty alone devoured loaves
τηνεῖ καὶ τὸν ταῦρον ἀπ' ὤρεος ἆγε πιάξας
there also the bull from the-mountain he-led seizing(-it)
τᾶς ὁπλᾶς κἤδωκ' Ἀμαρυλλίδι, ταὶ δὲ γυναῖκες
by-the hoof and-gave to-Amaryllis the and women
μακρὸν ἀνάυσαν, χὠ βουκόλος ἐξεγέλασσεν.
loudly shrieked and-the cowherd laughed-out
ΒΑΤΤΟΣ ὦ χαρίεσσ' Ἀμαρυλλί, μόνας σέθεν οὐδὲ θανοίσας
O charming Amaryllis alone of-you not-even dead
λασεύμεσθ'· ὅσον αἶγες ἐμὶν φίλαι, ὅσσον ἀπέσβης.
shall-we-forget as-much-as goats to-me dear so-much you-died
αἰαῖ τῶ σκληρῶ μάλα δαίμονος, ὅς με λελόγχει.
alas the hard very fate which me has-allotted
ΚΟΡΤΔΩΝ θαρσεῖν χρὴ φίλε Βάττε· τάχ' αὔριον ἔσσετ' ἄμεινον.
to-be-brave one-must dear Battus perhaps tomorrow it-will-be better

ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες.
hopes among the-living hopeless and the-dead
χώ Ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὕει.
and Zeus at-another-time indeed is clear at-another-time and rains
ΒΑΤΤΟΣ θαρσέω. βάλλε κάτωθε τὰ μοσχία· τᾶς γὰρ ἐλαίας
I-am-brave drive from-below the calves of-the for olive
τὸν θαλλὸν τρώγοντι τὰ δύσσοα. σίτθ' ὁ λέπαργος.
the shoot they-munch the wretched shoo the white-flank
ΚΟΡΤΔΩΝ σίτθ' ἁ Κυμαίθα ποτὶ τὸν λόφον. οὐκ ἐσακούεις;
shoo — Cymaetha to the hill not do-you-hearken
ἦξῶ ναὶ τὸν Πᾶνα κακὸν τέλος αὐτίκα δωσῶν,
I-will-come yes-by — Pan an-evil end at-once to-give(-you)
εἰ μὴ ἄπει τουτῶθεν. ἴδ' αὖ πάλιν ἅδε ποθέρπει.
if not you-go from-here see again back this-one comes-on
εἴθ' ἦν μοι ῥοικὸν τὸ λαγωβόλον, ὥς τυ πάταξα.
would-that were to-me crooked the hare-stick so-that you I-might-strike
ΒΑΤΤΟΣ θᾶσαί μ' ὦ Κορύδων πὸτ τῶ Διός· ἁ γὰρ ἄκανθα
look-at me O Corydon by — Zeus the for thorn
ἀρμοῖ μ' ὧδ' ἐπάταξ' ὑπὸ τὸ σφυρόν. ὡς δὲ βαθεῖαι
just-now me here has-struck under the ankle how and deep
τἀτρακτυλλίδες ἐντί. κακῶς ἁ πόρτις ὄλοιτο·
the-spindle-thistles are badly the heifer may-perish
ἐς ταύταν ἐτύπην χασμεύμενος. ἦ ῥά γε λεύσσεις;
on her I-was-struck gaping truly then indeed do-you-see
ΚΟΡΤΔΩΝ ναὶ ναί, τοῖς ὀνύχεσσιν ἔχω τέ νιν· ἅδε καὶ αὐτά.
yes yes with-the nails I-have — it this even itself
ΒΑΤΤΟΣ ὁσσίχον ἐστὶ τὸ τύμμα καὶ ἁλίκον ἄνδρα δαμάζει.
how-small is the wound and how-great a-man it-overcomes
ΚΟΡΤΔΩΝ εἰς ὄρος ὅκχ' ἔρπῃς, μὴ νήλιπος ἔρχεο Βάττε.
to the-mountain when you-go not barefoot go Battus

ἐν γὰρ ὄρει ῥάμνοί τε καὶ ἀσπάλαθοι κομέονται.
in for the-mountain buckthorns both and camel-thorns grow

ΒΑΤΤΟΣ εἶπ᾽ ἄγε μ᾽ ὦ Κορύδων, τὸ γερόντιον ἦ ῥα διώκει,
tell come me O Corydon the old-man truly then does-he-chase

τήναν τὰν κυάνοφρυν ἐρωτίδα, τᾶς ποκ᾽ ἐκνίσθη;
that the dark-browed sweetheart for-whom once he-was-stung

ΚΟΡΥΔΩΝ ἀκμάν γ᾽ ὦ δειλαῖε· πρόαν γε μὲν αὐτὸς ἐπενθὼν 60
at-its-height indeed O wretch lately indeed indeed myself coming-on

καὶ ποτὶ τᾷ μάνδρᾳ κατελάμβανον ἅμος ἐνήργει.
and at the fold I-caught(-him) when he-was-at-work

ΒΑΤΤΟΣ εὖ γ᾽ ὤνθρωπε φιλοῖφα. τό τοι γένος ἢ Σατυρίσκοις
well indeed O-fellow lustful the your race either with-Satyrs

ἐγγύθεν ἢ Πάνεσσι κακοκνάμοισιν ἐρίσδεις.
close or with-Pans thin-legged you-vie

Βουκολιασταὶ Κομάτας καὶ Λάκων

V · COMATAS AND LACON

The goatherd Comatas and the shepherd Lacon trade insults, each accusing the other of theft, and agree to a singing match, Lacon's lamb against Comatas' he-goat, with the woodcutter Morson as judge. In alternate couplets they boast of their loves, their gifts, and their flocks and trade old taunts. Morson awards the lamb to Comatas, who crows over Lacon and promises his goats a bath.

ΚΟΜΑΤΑΣ Αἶγες ἐμαί, τῆνον τὸν ποιμένα τόνδε Σιβύρτα
Goats my that the shepherd this of-Sibyrtas

φεύγετε τὸν Λάκωνα· τό μευ νάκος ἐχθὲς ἔκλεψεν.
flee — Lacon the my goatskin yesterday stole

ΛΑΚΩΝ οὐκ ἀπὸ τᾶς κράνας; σίττ᾽ ἀμνίδες. οὐκ ἐσορῆτε
not from the spring shoo lambs not do-you-see

τόν μευ τὰν σύριγγα πρόαν κλέψαντα Κομάταν;
the my the pipe lately having-stolen Comatas

ΚΟΜΑΤΑΣ τὰν ποίαν σύριγγα; τὺ γάρ ποκα δῶλε Σιβύρτα
the what pipe you for ever slave of-Sibyrtas

ἐκτάσα σύριγγα; τί δ' οὐκέτι σὺν Κορύδωνι
acquired pipe why and no-longer with Corydon

ἀρκεῖ τοι καλάμας αὐλὸν ποππύσδεν ἔχοντι;
suffices to-you of-straw a-reed to-pop-on having

ΛΑΚΩΝ τάν μοι ἔδωκε Λύκων ὦλεύθερε. τὶν δὲ τὸ ποῖον
which me gave Lycon O-free-man to-you and the what

Λάκων ἀγκλέψας πόκ' ἔβα νάκος; εἰπὲ Κομάτα·
Lacon having-stolen ever went goatskin tell Comatas

οὐδὲ γὰρ Εὐμάρᾳ τῷ δεσπότᾳ ἦς τι ἐνεύδειν.
not-even for for-Eumaras the master was anything to-sleep-in

ΚΟΜΑΤΑΣ τὸ Κροκύλος μοι ἔδωκε, τὸ ποικίλον, ἁνίκ' ἔθυσε
which Crocylus to-me gave the dappled when he-sacrificed

ταῖς Νύμφαις τὰν αἶγα· τὺ δ' ὦ κακὲ καὶ τόκ' ἐτάκευ
to-the Nymphs the goat you and O knave even then were-wasting

βασκαίνων, καὶ νῦν με τὰ λοίσθια γυμνὸν ἔθηκας.
envying and now me the last naked you-have-made

ΛΑΚΩΝ οὐκ αὐτὸν τὸν Πᾶνα τὸν ἄκτιον, οὐ τέ γε Λάκων
no by-himself — Pan the of-the-shore not — indeed Lacon

τὰν βαίταν ἀπέδυσ' ὁ Καλαιθίδος, ἢ κατὰ τήνας
the coat stripped-off the(-son) of-Calaethis or down that

τᾶς πέτρας ὤνθρωπε μανεὶς ἐς Κρᾶθιν ἁλοίμαν.
the rock O-man maddened into Crathis may-I-leap

ΚΟΜΑΤΑΣ οὐ μὰν οὐκ αὐτὰς τὰς λιμνάδας ὦγαθὲ Νύμφας,
not indeed not by-themselves the of-the-marsh O-good-sir Nymphs

αἵτέ μοι ἵλαοί τε καὶ εὐμενέες τελέθοιεν,
who to-me gracious both and kindly may-be

οὔ τευ τὰν σύριγγα λαθὼν ἔκλεψε Κομάτας.
not your the pipe stealthily stole Comatas

ΛΑΚΩΝ αἴ τοι πιστεύσαιμι, τὰ Δάφνιδος ἄλγε' ἀροίμαν.
if you I-should-trust the of-Daphnis woes may-I-suffer

ἀλλ' ὦν αἴκα λῇς ἔριφον θέμεν — ἔστι μὲν οὐδὲν
but then if you-will a-kid to-stake is indeed nothing

ἱερόν — ἀλλά γε τοι διαείσομαι, ἔστέ κ' ἀπείπῃς.
holy but indeed with-you I-will-sing-it-out until — you-give-up

ΚΟΜΑΤΑΣ ὗς ποτ' Ἀθαναίαν ἔριν ἤρισεν. ἠνίδε κεῖται
a-sow against Athena strife strove look lies

ὤριφος· ἀλλά γε καὶ τὺ τὸν εὔβοτον ἀμνὸν ἔρισδε.
the-kid but indeed also you the well-fed lamb stake

ΛΑΚΩΝ καὶ πῶς ὦ κίναδος τὺ τάδ' ἔσσεται ἐξ ἴσω ἁμίν;
and how O fox you these-things will-be from equal for-us

τίς τρίχας ἀντ' ἐρίων ἐποκίξατο; τίς δὲ παρεύσας
who hair instead-of wool shore who and passing-by

αἰγὸς πρατοτόκοιο κακὰν κύνα δήλετ' ἀμέλγειν;
goat first-bearing an-evil bitch chooses to-milk

ΚΟΜΑΤΑΣ ὅστις νικασεῖν τὸν πλατίον ὡς τὺ πεποίθεις,
whoever to-conquer the neighbor as you were-confident

σφὰξ βομβέων τέττιγος ἐναντίον. ἀλλὰ γὰρ οὔ τοι
a-wasp buzzing a-cicada against but for not to-you

ὤριφος ἰσοπαλής, τυῖδ' ὁ τράγος οὗτος. ἔρισδε.
the-kid is-equal here the he-goat this stake

ΛΑΚΩΝ μὴ σπεῦδ'· οὐ γάρ τοι πυρὶ θάλπεαι. ἄδιον ᾄσῃ
not hasten not for you with-fire are-warmed sweeter you-will-sing

τεῖδ' ὑπὸ τὰν κότινον καὶ τἄλσεα ταῦτα καθίξας.
here under the wild-olive and the-groves these sitting-down

ψυχρὸν ὕδωρ τουτεῖ καταλείβεται· ὧδε πεφύκει
cold water here trickles-down here grows

ποία χά στιβὰς ἅδε, καὶ ἀκρίδες ὧδε λαλεῦντι.
grass and-the bed this and locusts here chatter

35 ΚΟΜΑΤΑΣ ἀλλ᾽ οὔ τι σπεύδω· μέγα δ᾽ ἄχθομαι, εἰ τύ με τολμῇς
but not at-all I-hasten greatly but I-am-vexed if you me dare
ὄμμασι τοῖς ὀρθοῖσι ποτιβλέπεν, ὅν ποκ᾽ ἐόντα
with-eyes the straight to-look-at whom once being
παῖδ᾽ ἔτ᾽ ἐγὼν ἐδίδασκον. ἴδ᾽ ἁ χάρις ἐς τί ποθ᾽ ἕρπει.
a-boy still I taught see the gratitude to what ever it-comes
θρέψαι καὶ λυκιδεῖς, θρέψαι κύνας, ὥς τυ φάγωντι.
rear even wolf-cubs rear dogs that you they-may-eat

ΛΑΚΩΝ καὶ πόκ᾽ ἐγὼ παρὰ τεῦς τι μαθὼν καλὸν ἢ καὶ ἀκούσας
and when I from you anything learning fine or even hearing
40 μέμναμ᾽; ὦ φθονερὸν τὺ καὶ ἀπρεπὲς ἀνδρίον αὕτως.
remember O spiteful you and unseemly mannikin just-so

……
(omitted)

ἀλλὰ γὰρ ἕρφ᾽ ὦδ᾽, ἕρπε, καὶ ὕστατα βουκολιαξῇ.
but for creep here creep and last you-will-play-the-herdsman

45 ΚΟΜΑΤΑΣ οὐχ ἑρψῶ τηνεῖ· τουτεῖ δρύες, ὧδε κύπειρος,
not I-will-creep there here oaks here galingale
ὧδε καλὸν βομβεῦντι ποτὶ σμήνεσσι μέλισσαι·
here sweetly hum at hives bees
ἔνθ᾽ ὕδατος ψυχρῶ κρᾶναι δύο· ταὶ δ᾽ ἐπὶ δένδρει
there of-water cold springs two the and on tree
ὄρνιχες λαλαγεῦντι· καὶ ἁ σκιὰ οὐδὲν ὁμοία
birds chatter and the shade not-at-all like
τᾷ παρὰ τίν· βάλλει δὲ καὶ ἁ πίτυς ὑψόθε κώνοις.
to-the by you throws and also the pine from-above cones

50 ΛΑΚΩΝ ἦ μὰν ἀρνακίδας τε καὶ εἴρια τεῖδε πατησεῖς,
truly indeed lambskins both and wool here you-will-tread

αἴκ᾽ ἔνθῃς, ὕπνω μαλακώτερα· ταὶ δὲ τραγεῖαι
if you-come than-sleep softer the and goatskins
ταὶ παρὰ τὶν ὄσδοντι κακώτερον ἢ τύ περ ὄσδεις.
the by you smell worse than you though smell
στασῶ δὲ κρατῆρα μέγαν λευκοῖο γάλακτος
I-will-set and a-bowl great of-white milk
ταῖς Νύμφαις, στασῶ δὲ καὶ ἁδέος ἄλλον ἐλαίω.
to-the Nymphs I-will-set and also of-sweet another oil
ΚΟΜΑΤΑΣ αἰ δέ κε καὶ τὺ μόλῃς, ἁπαλὰν πτέριν ὧδε πατησεῖς
if and — also you come soft fern here you-will-tread
καὶ γλάχων᾽ ἀνθεῦσαν· ὑπεσσεῖται δὲ χιμαιρᾶν
and pennyroyal flowering will-be-spread-under and of-she-goats
δέρματα τῶν παρὰ τὶν μαλακώτερα τετράκις ἀρνῶν.
skins than-the by you softer four-times lambs
στασῶ δ᾽ ὀκτὼ μὲν γαυλὼς τῷ Πανὶ γάλακτος,
I-will-set and eight indeed pails — to-Pan of-milk
ὀκτὼ δὲ σκαφίδας μέλιτος πλέα κηρί᾽ ἐχοίσας.
eight and bowls of-honey full combs having
ΛΑΚΩΝ αὐτόθε μοι ποτέρισδε καὶ αὐτόθε βουκολιάσδευ·
from-there to-me compete and from-there play-the-herdsman
τὰν σαυτῶ πατέων ἔχε τὰς δρύας. ἀλλὰ τίς ἄμμε
the of-yourself treading hold the oaks but who us
τίς κρινεῖ; αἴθ᾽ ἔνθοι πόθ᾽ ὁ βουκόλος ὧδ᾽ ὁ Λυκώπας.
who will-judge would-that might-come ever the cowherd here — Lycopas
ΚΟΜΑΤΑΣ οὐδὲν ἐγὼ τήνω ποτιδεύομαι· ἀλλὰ τὸν ἄνδρα,
nothing I of-him need but the man
αἰ λῇς, τὸν δρυτόμον βωστρήσομες, ὃς τὰς ἐρείκας
if you-will the woodcutter we-shall-call who the heather
τήνας τὰς παρὰ τὶν ξυλοχίζεται· ἔστι δὲ Μόρσων.
those the by you gathers is and Morson

ΛΑΚΩΝ βωστρέωμες. ΚΟΜΑΤΑΣ τὺ κάλει νιν.
let-us-call you call him
ΛΑΚΩΝ ἴθ' ὦ ξένε μικκὸν ἄκουσον
come O stranger a-little listen
τεῖδ' ἐνθών· ἄμμες γὰρ ἐρίσδομες, ὅστις ἀρείων
here coming we for compete whoever better
βουκολιαστάς ἐστι. τὺ δ' ὦ φίλε μήτ' ἐμὲ Μόρσων
herdsman-singer is you and O friend neither me Morson
ἐν χάριτι κρίνῃς, μήτ' ὢν τύγα τοῦτον ὀνάσῃς.
in favor judge nor then you this-one help
ΚΟΜΑΤΑΣ ναὶ ποτὶ τᾶν Νυμφᾶν Μόρσων φίλε μήτε Κομάτᾳ
yes by the Nymphs Morson friend neither to-Comatas
τὸ πλέον ἰθύνῃς, μήτ' ὢν τύγα τῷδε χαρίξῃ.
the more incline nor then you this-one favor
ἅδέ τοι ἁ ποίμνα τῶ Θουρίω ἐστὶ Σιβύρτα,
this to-you the flock of-the Thurian is Sibyrtas
Εὐμάρα δὲ τὰς αἶγας ὁρῇς φίλε τῶ Συβαρίτα.
of-Eumaras and the goats you-see friend the Sybarite
ΛΑΚΩΝ μή τύ τις ἠρώτη πὸτ τῶ Διός, αἴτε Σιβύρτα
not you anyone asked by — Zeus whether of-Sibyrtas
αἴτ' ἐμόν ἐστι κάκιστε τὸ ποίμνιον; ὡς λάλος ἐσσί.
or mine is worst the flock how talkative you-are
ΚΟΜΑΤΑΣ βέντισθ' οὗτος, ἐγὼ μὲν ἀλαθέα πάντ' ἀγορεύω
best-of-men this-one I indeed true-things all speak
κοὐδὲν καυχέομαι· τὺ δ' ἄγαν φιλοκέρτομος ἐσσί.
and-not-at-all boast you but very fond-of-mocking are
ΛΑΚΩΝ εἶα λέγ' εἴ τι λέγεις, καὶ τὸν ξένον ἐς πόλιν αὖθις
come say if anything you-say and the stranger to town again
ζῶντ' ἄφες· ὦ Παιάν, ἦ στωμύλος ἦσθα Κομάτα.
alive let-go O Paean truly glib you-were Comatas

ΚΟΜΑΤΑΣ ταὶ Μοῖσαί με φιλεῦντι πολὺ πλέον ἢ τὸν ἀοιδὸν
the Muses me love much more than the singer
Δάφνιν· ἐγὼ δ' αὐταῖς χιμάρως δύο πρᾶν ποκ' ἔθυσα.
Daphnis I and to-them kids two lately once sacrificed
ΛΑΚΩΝ καὶ γὰρ ἔμ' ὠπόλλων φιλέει μέγα, καὶ καλὸν αὐτῷ
and for me Apollo loves greatly and fine for-him
κριὸν ἐγὼ βόσκω. τὰ δὲ Κάρνεα καὶ δὴ ἐφέρπει.
a-ram I graze the and Carnean-feast and indeed comes-on
ΚΟΜΑΤΑΣ πλὰν δύο τὰς λοιπὰς διδυματόκος αἶγας ἀμέλγω,
except two the rest mothers-of-twins goats I-milk
καί μ' ἁ παῖς ποθορεῦσα "τάλαν" λέγει "αὐτὸς ἀμέλγεις;"
and me the girl looking-on wretch says alone do-you-milk
ΛΑΚΩΝ φεῦ φεῦ Λάκων τοι ταλάρως σχεδὸν εἴκατι πληροῖ
alas alas Lacon to-you baskets nearly twenty fills
τυρῶ καὶ τὸν ἄναβον ἐν ἄνθεσι παῖδα μολύνει.
of-cheese and the beardless among flowers boy defiles
ΚΟΜΑΤΑΣ βάλλει καὶ μάλοισι τὸν αἰπόλον ἁ Κλεαρίστα
pelts also with-apples the goatherd — Clearista
τὰς αἶγας παρελᾶντα καὶ ἁδύ τι ποππυλιάσδει.
the goats driving-by and sweetly — smacks-her-lips
ΛΑΚΩΝ κἠμὲ γὰρ ὁ Κρατίδας τὸν ποιμένα λεῖος ὑπαντῶν
and-me for — Cratidas the shepherd smooth meeting
ἐκμαίνει· λιπαρὰ δὲ παρ' αὐχένα σείετ' ἔθειρα.
drives-mad sleek and by neck waves the-hair
ΚΟΜΑΤΑΣ ἀλλ' οὐ σύμβλητ' ἐστὶ κυνόσβατος οὐδ' ἀνεμώνα
but not comparable is dog-rose nor anemone
πρὸς ῥόδα, τῶν ἄνδηρα παρ' αἱμασιαῖσι πεφύκει.
to roses whose beds by the-walls grow
ΛΑΚΩΝ οὐδὲ γὰρ οὐδ' ἀκύλοις ὁμομαλίδες· αἱ μὲν ἔχοντι
nor for not-even with-acorns crab-apples they indeed have

λυπρὸν ἀπὸ πρίνοιο λεπύριον, αἱ δὲ μελιχραί.
thin from holm-oak husk they and honey-sweet

ΚΟΜΑΤΑΣ κἠγὼ μὲν δωσῶ τᾷ παρθένῳ αὐτίκα φάσσαν
and-I indeed will-give to-the maiden at-once a-dove

ἐκ τᾶς ἀρκεύθω καθελών· τηνεῖ γὰρ ἐφίσδει.
from the juniper having-taken-(it) there for it-sits

ΛΑΚΩΝ ἀλλ᾽ ἐγὼ ἐς χλαῖναν μαλακὸν πόκον, ὁππόκα πέξω
but I into a-cloak soft fleece whenever I-comb

τὰν οἶν τὰν πέλλαν, Κρατίδᾳ δωρήσομαι αὐτός.
the ewe the black to-Cratidas will-give myself

ΚΟΜΑΤΑΣ σίττ᾽ ἀπὸ τᾶς κοτίνω ταὶ μηκάδες· ὧδε νέμεσθε,
shoo from the wild-olive the bleaters here graze

ὡς τὸ κάταντες τοῦτο γεώλοφον αἵ τε μυρῖκαι.
where the sloping this hillock the and tamarisks

ΛΑΚΩΝ οὐκ ἀπὸ τᾶς δρυὸς οὗτος ὁ Κώναρος ἅ τε Κιναίθα;
not from the oak this-one — Conarus — and Cinaetha

τουτεῖ βοσκησεῖσθε ποτ᾽ ἀντολάς, ὡς ὁ Φάλαρος.
here you-will-graze toward sunrise as — Phalarus

ΚΟΜΑΤΑΣ ἔστι δέ μοι γαυλὸς κυπαρίσσινος, ἔστι δὲ κρατήρ,
is and to-me a-pail of-cypress is and a-bowl

ἔργον Πραξιτέλευς· τᾷ παιδὶ δὲ ταῦτα φυλάσσω.
work of-Praxiteles to-the girl and these I-keep

ΛΑΚΩΝ χἀμῖν ἐστι κύων φιλοποίμνιος, ὃς λύκος ἄγχει,
and-to-me is a-dog fond-of-the-flock who wolves throttles

ὃν τῷ παιδὶ δίδωμι τὰ θηρία πάντα διώκειν.
whom to-the boy I-give the beasts all to-chase

ΚΟΜΑΤΑΣ ἀκρίδες, αἳ τὸν φραγμὸν ὑπερπαδῆτε τὸν ἁμόν,
locusts who the fence leap-over the my

μή μευ λωβασεῖσθε τὰς ἀμπέλος· ἐντὶ γὰρ ἆβαι.
not my you-will-damage the vines are for in-bloom

ΛΑΚΩΝ τοὶ τέττιγες, ὁρῆτε τὸν αἰπόλον ὡς ἐρεθίζω·
the cicadas you-see the goatherd how I-provoke
οὑτῶς χὑμές θην ἐρεθίζετε τὼς καλαμευτάς.
so you surely provoke the reapers
ΚΟΜΑΤΑΣ μισέω τὰς δασυκέρκος ἀλώπεκας, αἳ τὰ Μίκωνος
I-hate the bushy-tailed foxes who the of-Micon
αἰεὶ φοιτῶσαι τὰ ποθέσπερα ῥαγίζοντι.
ever roaming the evening-time pluck-grapes
ΛΑΚΩΝ καὶ γὰρ ἐγὼ μισέω τὼς κανθάρος, οἳ τὰ Φιλώνδα
and for I hate the beetles who the of-Philondas
σῦκα κατατρώγοντες ὑπανέμιοι φορέονται.
figs devouring on-the-wind are-borne
ΚΟΜΑΤΑΣ ἦ οὐ μέμνᾳ, ὅκ' ἐγώ τυ κατήλασα, καὶ τὺ σεσαρὼς
truly not you-recall when I you drove and you grinning
εὖ ποτεκιγκλίζευ καὶ τᾶς δρυὸς εἴχεο τήνας;
well wriggled and the oak held-on-to that
ΛΑΚΩΝ τοῦτο μὲν οὐ μέμναμ'· ὅκα μάν ποκα τεῖδέ τυ δήσας
this indeed not I-remember when indeed once here you having-bound
Εὐμάρας ἐκάθηρε καλῶς μάλα, τοῦτό γ' ἴσαμι.
Eumaras purged well very this indeed I-know
ΚΟΜΑΤΑΣ ἦ δή τις Μόρσων πικραίνεται· ἢ οὐχὶ παρῄσθευ;
truly indeed someone Morson is-stung or not have-you-noticed
σκίλλας ἰὼν γραίας ἀπὸ σάματος αὐτίκα τίλλειν.
squills going of-an-old-woman from the-tomb at-once to-pluck
ΛΑΚΩΝ κἠγὼ μὰν κνίζω Μόρσων τινά· καὶ τὺ δὲ λεύσσεις.
and-I indeed sting Morson someone and you and see
ἐνθὼν τὰν κυκλάμινον ὄρυσσέ νυν ἐς τὸν Ἄλεντα.
going the cyclamen dig now to the Haleis
ΚΟΜΑΤΑΣ Ἰμέρα ἀνθ' ὕδατος ῥείτω γάλα, καὶ τὺ δὲ Κράθι
Himera instead-of water let-flow milk and you and Crathis

οἴνῳ πορφύροις, τὰ δέ τ᾽ οἴσυα καρπὸν ἐνείκαι.
with-wine may-you-redden the and — osiers fruit bear

ΛΑΚΩΝ ῥείτω χά Συβαρῖτις ἐμὶν μέλι, καὶ τὸ πότορθρον
let-flow and-the Sybaris for-me honey and at-the dawn

ἁ παῖς ἀνθ᾽ ὕδατος τᾷ κάλπιδι κηρία βάψαι.
the girl instead-of water with-the pitcher honeycombs dip

ΚΟΜΑΤΑΣ ταὶ μὲν ἐμαὶ κύτισόν τε καὶ αἴγιλον αἶγες ἔδοντι,
the indeed my clover both and goat-grass goats eat

καὶ σχῖνον πατέοντι καὶ ἐν κομάροισι κέχυνται.
and mastich tread and among arbutus lie-at-ease

ΛΑΚΩΝ ταῖσι δ᾽ ἐμαῖς οἰέσσι πάρεστι μὲν ἁ μελίτεια
to-the and my sheep is-at-hand indeed the balm

φέρβεσθαι, πολλὸς δὲ καὶ ὡς ῥόδα κίσθος ἐπανθεῖ.
to-feed-on much and also like roses rock-rose blooms

ΚΟΜΑΤΑΣ οὐκ ἔραμ᾽ Ἀλκίππας, ὅτι με πρᾶν οὐκ ἐφίλασε
not I-love Alcippe because me lately not she-kissed

τῶν ὤτων καθελοῖσ᾽, ὅκά οἱ τὰν φάσσαν ἔδωκα.
by-the ears taking when to-her the dove I-gave

ΛΑΚΩΝ ἀλλ᾽ ἐγὼ Εὐμήδευς ἔραμαι μέγα· καὶ γὰρ ὅκ᾽ αὐτῷ
but I Eumedes love greatly and for when to-him

τὰν σύριγγ᾽ ὤρεξα, καλόν τί με κάρτ᾽ ἐφίλασεν.
the pipe I-held-out sweetly — me very be-kissed

ΚΟΜΑΤΑΣ οὐ θεμιτὸν Λάκων ποτ᾽ ἀηδόνα κίσσας ἐρίσδειν,
not right Lacon against nightingale jays to-vie

οὐδ᾽ ἔποπας κύκνοισι· τὺ δ᾽ ὦ τάλαν ἐσσὶ φιλεχθής.
nor hoopoes with-swans you and O wretch are quarrelsome

ΜΟΡΣΩΝ παύσασθαι κέλομαι τὸν ποιμένα. τὶν δὲ Κομάτα
to-stop I-bid the shepherd to-you and Comatas

δωρεῖται Μόρσων τὰν ἀμνίδα· καὶ τὺ δὲ θύσας
gives Morson the lamb and you and having-sacrificed

ταῖς Νύμφαις Μόρσωνι καλὸν κρέας αὐτίκα πέμψον.
to-the Nymphs to-Morson fine meat at-once send

ΚΟΜΑΤΑΣ πεμψῶ ναὶ τὸν Πᾶνα. φριμάσσεο πᾶσα τραγίσκων
I-will-send yes-by — Pan snort all of-billy-goats

νῦν ἀγέλα· κἠγὼ γὰρ ἴδ᾽ ὡς μέγα τοῦτο καχαξῶ
now herd and-I for see how loud this I-will-laugh

κὰτ τῶ Λάκωνος τῶ ποιμένος, ὅττι πόκ᾽ ἤδη
over — Lacon the shepherd that ever at-last

ἀνυσάμαν τὰν ἀμνόν· ἐς ὠρανὸν ὔμμιν ἀλεῦμαι.
I-have-won the lamb to heaven for-you I-will-leap

αἶγες ἐμαὶ θαρσεῖτε κερούτιδες· αὔριον ὔμμε
goats my take-heart horned tomorrow you

πάσας ἐγὼ λουσῶ Συβαρίτιδος ἔνδοθι λίμνας.
all I will-wash Sybaris within the-lake

οὗτος ὁ Λευκίτας ὁ κορυπτίλος, εἴ τιν᾽ ὀχευσεῖς
this-one — White the butting-one if any you-mount

τᾶν αἰγῶν, φλασσῶ τυ πρὶν ἤ γ᾽ ἐμὲ καλλιερῆσαι
of-the goats I-will-crush you before than — me to-sacrifice

ταῖς Νύμφαις τὰν ἀμνόν. ὁ δ᾽ αὖ πάλιν. ἀλλὰ γενοίμαν,
to-the Nymphs the lamb he but again back but may-I-become

αἰ μή τυ φλάσσαιμι, Μελάνθιος ἀντὶ Κομάτα.
if not you I-crush Melanthius instead-of Comatas

Βουκολιασταὶ Δάφνις καὶ Δαμοίτας

VI · DAPHNIS AND DAMOETAS

Damoetas and Daphnis sing by a spring at noon. Daphnis tells Polyphemus that Galatea pelts his flock with apples and teases him from the sea. Damoetas answers as the Cyclops: he sees her well, feigns indifference to make her jealous, and admires his own reflection in the calm sea. They kiss and exchange pipe and flute. Damoetas plays the flute and Daphnis the pipe, the heifers dance, and neither wins.

Δαμοίτας χὠ Δάφνις ὁ βουκόλος εἰς ἕνα χῶρον
Damoetas and Daphnis the cowherd into one place
τὰν ἀγέλαν πόκ᾽ Ἄρατε συνάγαγον· ἦς δ᾽ ὁ μὲν αὐτῶν
the herd once Aratus drove-together was and the-one indeed of-them
πυρρός, ὁ δ᾽ ἡμιγένειος· ἐπὶ κράναν δέ τιν᾽ ἄμφω
red-haired the-other and half-bearded at spring and a both
ἑζόμενοι θέρεος μέσῳ ἄματι τοιάδ᾽ ἄειδον.
sitting of-summer at-mid day such-things sang
πρᾶτος δ᾽ ἄρξατο Δάφνις, ἐπεὶ καὶ πρᾶτος ἔρισδε.
first and began Daphnis since also first he-challenged
Βάλλει τοι Πολύφαμε τὸ ποίμνιον ἁ Γαλάτεια
Pelts you-know Polyphemus the flock — Galatea
μάλοισιν, δυσέρωτα τὸν αἰπόλον ἄνδρα καλεῦσα·
with-apples unlucky-in-love the goatherd man calling(-you)
καὶ τύ νιν οὐ ποθόρησθα τάλαν τάλαν, ἀλλὰ κάθησαι
and you her not look-at wretch wretch but sit
ἁδέα συρίσδων. πάλιν ἅδ᾽ ἴδε τὰν κύνα βάλλει,
sweetly piping again here see the dog she-pelts
ἅ τοι τᾶν ὀίων ἔπεται σκοπός· ἁ δὲ βαΰσδει
who you-know of-the sheep follows watcher it and barks
εἰς ἅλα δερκομένα, τὰ δέ νιν καλὰ κύματα φαίνει
to the-sea looking the and it fair waves show

ἅσυχα καχλάζοντα ἐπ᾽ αἰγιαλοῖο θέοισαν.
softly splashing on the-beach running
φράζεο μὴ τᾶς παιδὸς ἐπὶ κνάμαισιν ὀρούσῃ
take-care lest of-the girl on the-shins it-spring
ἐξ ἁλὸς ἐρχομένας, κατὰ δὲ χρόα καλὸν ἀμύξῃ.
from the-sea coming down and the-skin fair tear
ἁ δὲ καὶ αὐτόθε τοι διαθρύπτεται, ὡς ἀπ᾽ ἀκάνθας
she and even from-there to-you plays-the-coy like from thistle
ταὶ καπυραὶ χαῖται, τὸ καλὸν θέρος ἁνίκα φρύγει·
the dry down the fair summer when parches
καὶ φεύγει φιλέοντα καὶ οὐ φιλέοντα διώκει,
and flees one-loving and not loving pursues
καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον· ἦ γὰρ ἔρωτι
and the from the-line moves stone truly for to-love
πολλάκις ὦ Πολύφαμε τὰ μὴ καλὰ καλὰ πέφανται.
often O Polyphemus the not fair fair have-appeared
Τῷ δ᾽ ἐπὶ Δαμοίτας ἀνεβάλλετο καὶ τάδ᾽ ἄειδεν.
Him and after Damoetas struck-up and these sang
εἶδον ναὶ τὸν Πᾶνα, τὸ ποίμνιον ἁνίκ᾽ ἔβαλλε,
I-saw yes-by — Pan the flock when she-pelted
κοὔ μ᾽ ἔλαθ᾽, οὔ, τὸν ἐμὸν ἕνα τὸν γλυκύν, ὦ ποθόρημαι
and-not me escaped no-by the my one the sweet with-which I-look-at
ἐς τέλος· αὐτὰρ ὁ μάντις ὁ Τήλεμος ἔχθρ᾽ ἀγορεύων
to the-end but the seer — Telemus hateful-things prophesying
ἐχθρὰ φέροι ποτὶ οἶκον, ὅπως τεκέεσσι φυλάσσοι.
hateful-things may-he-carry to home that to-his-children he-may-keep(-them)
ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίζων πάλιν οὐ ποθόρημι,
but also myself I teasing in-turn not look-at(-her)
ἀλλ᾽ ἄλλαν τινὰ φαμὶ γυναῖκ᾽ ἔχεν· ἁ δ᾽ ἀίοισα
but other some I-say woman to-have she and hearing

ζαλοῖ μ᾽ ὦ Παιὰν καὶ τάκεται, ἐκ δὲ θαλάσσας
is-jealous-of me O Paean and pines from and the-sea
οἰστρεῖ παπταίνοισα ποτ᾽ ἄντρά τε καὶ ποτὶ ποίμνας.
she-raves peering toward the-caves both and toward the-flocks
σίξα δ᾽ ὑλακτεῖν νιν καὶ τᾷ κυνί· καὶ γὰρ ὅκ᾽ ἤρων
I-hissed and to-bark at-her even to-the bitch and for when I-loved
αὐτᾶς, ἐκνυζεῖτο ποτ᾽ ἰσχία ῥύγχος ἔχοισα.
of-her she-whined toward the-hips the-muzzle having
ταῦτα δ᾽ ἴσως ἐσορεῦσα ποεῦντά με πολλάκι πεμψεῖ
these and perhaps seeing doing me often she-will-send
ἄγγελον. αὐτὰρ ἐγὼ κλᾳξῶ θύρας, ἕστέ κ᾽ ὀμόσσῃ
a-messenger but I will-shut the-doors until — she-swear
αὐτά μοι στορεσεῖν καλὰ δέμνια τᾶσδ᾽ ἐπὶ νάσω.
herself for-me to-spread fair bed this on island
καὶ γάρ θην οὐδ᾽ εἶδος ἔχω κακόν, ὥς με λέγοντι.
and for surely not-even form I-have bad as me they-say
ἦ γὰρ πρᾶν ἐς πόντον ἐσέβλεπον, ἦς δὲ γαλάνα,
truly for lately into the-sea I-looked was and calm
καὶ καλὰ μὲν τὰ γένεια, καλὰ δέ μευ ἁ μία κώρα,
and fair indeed the beard fair and my the one eye
ὡς παρ᾽ ἐμὶν κέκριται, κατεφαίνετο, τῶν δέ τ᾽ ὀδόντων
as by me it-is-judged appeared of-the and — teeth
λευκοτέραν αὐγὰν Παρίας ὑπέφαινε λίθοιο.
whiter gleam than-Parian showed stone
ὡς μὴ βασκανθῶ δέ, τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον·
that not I-be-bewitched and thrice into my I-spat bosom
ταῦτα γὰρ ἁ γραία με Κοτυταρὶς ἐξεδίδαξε.
these-things for the old-woman me Cotytaris taught
Τόσσ᾽ εἰπὼν τὸν Δάφνιν ὁ Δαμοίτας ἐφίλησε,
So-much having-said — Daphnis — Damoetas kissed

χὠ μὲν τῷ σύριγγ', ὁ δὲ τῷ καλὸν αὐλὸν ἔδωκεν.
and-he indeed to-him a-pipe he and to-him a-fair flute gave
αὔλει Δαμοίτας, σύρισδε δὲ Δάφνις ὁ βούτας,
fluted Damoetas piped and Daphnis the cowherd
ὠρχεῦντ' ἐν μαλακᾷ ταὶ πόρτιες αὐτίκα ποίᾳ.
danced in soft the heifers at-once grass
νίκη μὰν οὐδάλλος, ἀνήσσατοι δ' ἐγένοντο.
won indeed neither unbeaten and they-were

Θαλύσια

VII · THE HARVEST FESTIVAL

Simichidas, walking with two friends to a harvest feast, meets the goatherd Lycidas, and they agree to sing. Lycidas wishes Ageanax a fair voyage to Mytilene if he frees him from love, and tells of the drinking and songs that will celebrate it. Simichidas sings of Aratus' passion for Philinus, asks Pan to bring the boy into Aratus' arms, and counsels Aratus to give up the vigil. Lycidas gives him his staff, and the friends feast among poplars and fruit at Demeter's altar.

Ἦς χρόνος ἀνίκ' ἐγώ τε καὶ Εὔκριτος ἐς τὸν Ἅλεντα
There-was a-time when I both and Eucritus to the Haleis
εἴρπομες ἐκ πόλιος, σὺν καὶ τρίτος ἁμὶν Ἀμύντας·
went from the-city with also third us Amyntas
τᾷ Δηοῖ γὰρ ἔτευχε θαλύσια καὶ Φρασίδαμος
— to-Deo for was-making harvest-feast both Phrasidamus
κἀντιγένης, δύο τέκνα Λυκωπέος, εἴ τί περ ἐσθλὸν
and-Antigenes two children of-Lycopeus if anything indeed noble
χαῶν τῶν ἐπάνωθεν, ἀπὸ Κλυτίας τε καὶ αὐτῶ
of-the-noble those from-above from Clytia both and himself
Χάλκωνος, Βούριναν ὃς ἐκ ποδὸς ἄνυσε κράναν
Chalcon Burina who from his-foot finished the-spring

εὖ ἐνερεισάμενος πέτρᾳ γόνυ· ταὶ δὲ παρ' αὐτὰν
well having-planted on-the-rock his-knee the and by it
αἴγειροι πτελέαι τε ἐύσκιον ἄλσος ὕφαινον,
poplars elms and shady grove wove
χλωροῖσιν πετάλοισι κατηρεφέες κομόωσαι.
with-green leaves roofed-over leafing
κοὔπω τὰν μεσάταν ὁδὸν ἄνυμες, οὐδὲ τὸ σᾶμα
and-not-yet the middle way we-finished nor the tomb
ἁμὶν τὸ Βρασίλα κατεφαίνετο, καὶ τὸν ὁδίταν
to-us the of-Brasilas appeared and the wayfarer
ἐσθλὸν σὺν Μοίσαισι Κυδωνικὸν εὕρομες ἄνδρα,
good with the-Muses Cydonian we-found man
οὔνομα μὲν Λυκίδαν, ἦς δ' αἰπόλος, οὐδέ κέ τίς νιν
by-name indeed Lycidas he-was and goatherd nor — anyone him
ἠγνοίησεν ἰδών, ἐπεὶ αἰπόλῳ ἔξοχ' ἐῴκει.
would-have-mistaken seeing since to-a-goatherd exceedingly he-was-like
ἐκ μὲν γὰρ λασίοιο δασύτριχος εἶχε τράγοιο
from indeed for a-shaggy thick-haired he-had he-goat
κνακὸν δέρμ' ὤμοισι νέας ταμίσοιο ποτόσδον,
tawny skin on-his-shoulders of-new rennet smelling
ἀμφὶ δέ οἱ στήθεσσι γέρων ἐσφίγγετο πέπλος
around and his breast old was-bound robe
ζωστῆρι πλακερῷ, ῥοικὰν δ' ἔχεν ἀγριελαίῳ
with-belt broad crooked and he-had of-wild-olive
δεξιτερᾷ κορύναν. καί μ' ἀτρέμας εἶπε σεσαρὼς
in-right-hand a-club and me quietly said grinning
ὄμματι μειδιόωντι, γέλως δέ οἱ εἶχετο χείλευς·
with-eye smiling laughter and on-him clung-to lip
"Σιμιχίδα, πᾷ δὴ τὸ μεσαμέριον πόδας ἕλκεις,
Simichidas where indeed at-the midday feet do-you-drag

ἀνίκα δὴ καὶ σαῦρος ἐν αἱμασιαῖσι καθεύδει,
when indeed even the-lizard in walls sleeps
οὐδ' ἐπιτυμβίδιαι κορυδαλλίδες ἠλαίνοντι;
nor tomb-crested larks wander
ἦ μετὰ δαῖτα κλητὸς ἐπείγεαι; ἤ τινος ἀστῶν
truly after a-feast invited do-you-hasten or some of-the-townsmen
λανὸν ἔπι θρώσκεις; ὥς τοι ποσὶ νισσομένοιο
wine-press to do-you-leap how of-you with-feet going
πᾶσα λίθος πταίοισα ποτ' ἀρβυλίδεσσιν ἀείδει."
every stone stumbling against the-boots sings
τὸν δ' ἐγὼ ἀμείφθην· "Λυκίδα φίλε, φαντί τυ πάντες
him and I answered Lycidas friend they-say you all
συριγκτὰν ἔμεναι μέγ' ὑπείροχον ἔν τε νομεῦσιν
a-piper to-be greatly surpassing among both herdsmen
ἔν τ' ἀμητήρεσσι. τὸ δὴ μάλα θυμὸν ἰαίνει
among and reapers this indeed very heart warms
ἁμέτερον· καί τοι κατ' ἐμὸν νόον ἰσοφαρίζειν
our and you by my mind to-be-a-match
ἔλπομαι. ἁ δ' ὁδὸς ἅδε θαλυσιάς· ἦ γὰρ ἑταῖροι
I-hope the and road this harvest-feast's truly for comrades
ἀνέρες εὐπέπλῳ Δαμάτερι δαῖτα τελεῦντι
men for-fair-robed Demeter a-feast make
ὄλβῳ ἀπαρχόμενοι· μάλα γάρ σφισι πίονι μέτρῳ
of-wealth offering-first-fruits very for to-them with-rich measure
ἁ δαίμων εὔκριθον ἀνεπλήρωσεν ἀλωάν.
the goddess with-good-barley filled-up the-threshing-floor
ἀλλ' ἄγε δή — ξυνὰ γὰρ ὁδός, ξυνὰ δὲ καὶ ἀώς —
but come indeed shared for the-road shared and also the-dawn
βουκολιασδώμεσθα· τάχ' ὥτερος ἄλλον ὀνασεῖ.
let-us-sing-pastoral perhaps the-one the-other will-help

καὶ γὰρ ἐγὼ Μοισᾶν καπυρὸν στόμα, κἠμὲ λέγοντι
and for I of-the-Muses clear mouth and-me call
πάντες ἀοιδὸν ἄριστον· ἐγὼ δέ τις οὐ ταχυπειθής,
all singer best I and somehow not quick-to-believe
οὐ Δᾶν· οὐ γάρ πω κατ᾽ ἐμὸν νόον οὔτε τὸν ἐσθλὸν
no by-Zeus not for yet by my mind neither the good
Σικελίδαν νίκημι τὸν ἐκ Σάμω οὔτε Φιλητᾶν
Sicelidas I-beat the from Samos nor Philitas
ἀείδων, βάτραχος δὲ ποτ᾽ ἀκρίδας ὥς τις ἐρίσδω.᾽᾽
singing a-frog and against locusts as somehow I-vie
ὣς ἐφάμαν ἐπίταδες· ὁ δ᾽ αἰπόλος ἁδὺ γελάσσας,
so I-spoke on-purpose the and goatherd sweetly laughing
᾽᾽τάν τοι᾽᾽ ἔφα ᾽᾽κορύναν δωρύττομαι, οὕνεκεν ἐσσὶ
the to-you he-said club I-give because you-are
πᾶν ἐπ᾽ ἀλαθείᾳ πεπλασμένον ἐκ Διὸς ἔρνος.
all for truth fashioned from Zeus a-sprig
ὥς μοι καὶ τέκτων μέγ᾽ ἀπέχθεται, ὅστις ἐρευνᾷ
as to-me also a-builder greatly is-hateful whoever seeks
ἶσον ὄρευς κορυφᾷ τελέσαι δόμον εὐρυμέδοντος,
equal of-mountain to-the-peak to-finish house of-wide-ruling
καὶ Μοισᾶν ὄρνιχες, ὅσοι ποτὶ Χῖον ἀοιδὸν
and of-the-Muses birds as-many-as against the-Chian bard
ἀντία κοκκύζοντες ἐτώσια μοχθίζοντι.
against cackling vainly toil
ἀλλ᾽ ἄγε βουκολικᾶς ταχέως ἀρχώμεθ᾽ ἀοιδᾶς,
but come of-pastoral quickly let-us-begin song
Σιμιχίδα· κἠγὼ μέν — ὄρη φίλος, εἴ τοι ἀρέσκει
Simichidas and-I indeed see friend if you it-pleases
τοῦθ᾽ ὅ τι πρᾶν ἐν ὄρει τὸ μελύδριον ἐξεπόνασα.᾽᾽
this which any lately on the-mountain the little-song I-wrought

ΛΥΚΙΔΑΣ Ἔσσεται Ἀγεάνακτι καλὸς πλόος ἐς Μυτιλήναν,
There-will-be for-Ageanax fair sailing to Mytilene
χὤταν ἐφ' ἑσπερίοις ἐρίφοις νότος ὑγρὰ διώκῃ
and-when at evening kids the-south-wind wet drives
κύματα, χὠρίων ὅτ' ἐπ' ὠκεανῷ πόδας ἴσχῃ,
the-waves and-Orion when on ocean feet holds
αἴκεν τὸν Λυκίδαν ὀπτεύμενον ἐξ Ἀφροδίτας
if — Lycidas being-roasted from Aphrodite
ῥύσηται· θερμὸς γὰρ ἔρως αὐτῶ με καταίθει.
he-saves hot for love of-him me burns
χἀλκυόνες στορεσεῦντι τὰ κύματα τάν τε θάλασσαν
and-halcyons will-lay-to-rest the waves the and sea
τόν τε νότον τόν τ' εὖρον, ὃς ἔσχατα φυκία κινεῖ·
the and south-wind the and east-wind which uttermost seaweed stirs
ἀλκυόνες, γλαυκαῖς Νηρηίσι ταί τε μάλιστα
halcyons to-gray Nereids which and most
ὀρνίχων ἐφίλαθεν, ὅσαις τέ περ ἐξ ἁλὸς ἄγρα.
of-birds were-loved as-many-as and indeed from the-sea the-prey
Ἀγεάνακτι πλόον διζημένῳ ἐς Μυτιλήναν
for-Ageanax a-voyage seeking to Mytilene
ὥρια πάντα γένοιτο, καὶ εὔπλοον ὅρμον ἵκοιτο.
timely all-things may-be and fair-sailing to-harbor may-be-come
κἠγὼ τῆνο κατ' ἆμαρ ἀνήτινον ἢ ῥοδόεντα
and-I that on day of-dill or of-roses
ἢ καὶ λευκοΐων στέφανον περὶ κρατὶ φυλάσσων
or also of-white-violets a-garland round head keeping
τὸν Πτελεατικὸν οἶνον ἀπὸ κρατῆρος ἀφυξῶ
the Pteleatic wine from the-bowl will-draw
πὰρ πυρὶ κεκλιμένος, κύαμον δέ τις ἐν πυρὶ φρυξεῖ.
by the-fire reclining beans and someone in the-fire will-roast

χἁ στιβὰς ἐσσεῖται πεπυκασμένα ἔστ᾽ ἐπὶ πᾶχυν
and-the bed will-be strewn up to a-cubit
κνύζᾳ τ᾽ ἀσφοδέλῳ τε πολυγνάμπτῳ τε σελίνῳ.
with-fleabane both asphodel and curling and parsley
καὶ πίομαι μαλακῶς μεμνημένος Ἀγεάνακτος
and I-will-drink softly remembering Ageanax
αὐταῖσιν κυλίκεσσι καὶ ἐς τρύγα χεῖλος ἐρείδων.
with-the-very cups and to the-lees lip pressing
αὐλησεῦντι δέ μοι δύο ποιμένες, εἷς μὲν Ἀχαρνεύς,
will-pipe and to-me two shepherds one indeed Acharnian
εἷς δὲ Λυκωπίτας· ὁ δὲ Τίτυρος ἐγγύθεν ᾄσεῖ,
one and Lycopitan — and Tityrus close will-sing
ὥς ποκα τᾶς Ξενέας ἠράσσατο Δάφνις ὁ βούτας,
how once — of-Xenea fell-in-love Daphnis the cowherd
χὡς ὄρος ἀμφ᾽ ἐπονεῖτο, καὶ ὡς δρύες αὐτὸν ἐθρήνευν,
and-how the-mountain around grieved and how oaks him lamented
Ἱμέρα αἵτε φύοντι παρ᾽ ὄχθῃσιν ποταμοῖο,
of-Himera which grow by banks of-the-river
εὖτε χιὼν ὥς τις κατετάκετο μακρὸν ὑφ᾽ Αἷμον
when snow like — be-melted-away tall under Haemus
ἢ Ἄθω ἢ Ῥοδόπαν ἢ Καύκασον ἐσχατόωντα.
or Athos or Rhodope or Caucasus at-the-world's-end
ᾄσεῖ δ᾽ ὥς ποκ᾽ ἔδεκτο τὸν αἰπόλον εὐρέα λάρναξ
he-will-sing and how once received the goatherd a-wide chest
ζωὸν ἐόντα κακαῖσιν ἀτασθαλίαισιν ἄνακτος,
alive being by-the-evil wickedness of-a-lord
ὥς τέ νιν αἱ σιμαὶ λειμωνόθε φέρβον ἰοῖσαι
how and him the snub-nosed from-the-meadow fed coming
κέδρον ἐς ἁδεῖαν μαλακοῖς ἄνθεσσι μέλισσαι,
cedar to sweet with-soft flowers bees

οὕνεκά οἱ γλυκὺ Μοῖσα κατὰ στόματος χέε νέκταρ.
because for-him sweet the-Muse down mouth poured nectar
ὦ μακαριστὲ Κομάτα, τύ θην τάδε τερπνὰ πεπόνθεις,
O most-blessed Comatas you surely these delights have-experienced
καὶ τὺ κατεκλάσθης ἐς λάρνακα, καὶ τὺ μελισσῶν
and you were-shut-up into a-chest and you of-bees
κηρία φερβόμενος ἔτος ὥριον ἐξεπόνασας.
combs feeding-on the-year ripe toiled-through
αἴθ' ἐπ' ἐμεῦ ζωοῖς ἐναρίθμιος ὤφελες εἶμεν,
would-that in my-time among-the-living numbered you-ought to-be
ὥς τοι ἐγὼν ἐνόμευον ἀν' ὥρεα τὰς καλὰς αἶγας
so-that for-you I might-have-pastured over the-mountains the fair goats
φωνᾶς εἰσαΐων, τὺ δ' ὑπὸ δρυσὶν ἢ ὑπὸ πεύκαις
voice hearing you and under oaks or under pines
ἁδὺ μελισδόμενος κατεκέκλισο θεῖε Κομάτα.
sweetly singing would-have-lain divine Comatas
Χώ μὲν τόσσ' εἰπὼν ἀπεπαύσατο· τὸν δὲ μετ' αὖθις
And-he indeed so-much having-said ceased him and after again
κἠγὼ τοῖ' ἐφάμαν· "Λυκίδα φίλε, πολλὰ μὲν ἄλλα
and-I such-things said Lycidas friend many indeed other-things
νύμφαι κἠμὲ δίδαξαν ἀν' ὥρεα βουκολέοντα
nymphs me-too taught on the-mountains herding-cattle
ἐσθλά, τά που καὶ Ζηνὸς ἐπὶ θρόνον ἄγαγε φάμα·
good which perhaps even of-Zeus to the-throne has-brought rumor
ἀλλὰ τόγ' ἐκ πάντων μέγ' ὑπείροχον, ᾧ τυ γεραίρειν
but this from all greatly surpassing with-which you to-honor
ἀρξεῦμ'· ἀλλ' ὑπάκουσον, ἐπεὶ φίλος ἔπλεο Μοίσαις."
I-will-begin but listen since dear you-are to-the-Muses
ΣΙΜΙΧΙΔΑΣ Σιμιχίδᾳ μὲν Ἔρωτες ἐπέπταρον· ἦ γὰρ ὁ δειλὸς
for-Simichidas indeed the-Loves sneezed truly for the wretch

τόσσον ἐρᾷ Μυρτοῦς, ὅσον εἴαρος αἶγες ἐράντι.
so-much loves Myrto as-much-as of-spring goats love
ὥρατος δ' ὁ τὰ πάντα φιλαίτατος ἀνέρι τήνῳ
Aratus and the in all-things dearest to-man that
παιδὸς ὑπὸ σπλάγχνοισιν ἔχει πόθον. οἶδεν Ἄριστις,
of-a-boy under heart holds longing knows Aristis
ἐσθλὸς ἀνήρ, μέγ' ἄριστος, ὃν οὐδέ κεν αὐτὸς ἀείδειν
good man very best whom not — himself to-sing
Φοῖβος σὺν φόρμιγγι παρὰ τριπόδεσσι μεγαίροι,
Phoebus with lyre by the-tripods would-grudge
ὡς ἐκ παιδὸς Ἄρατος ὑπ' ὀστέον αἴθετ' ἔρωτι.
how from a-boy Aratus under the-bone burned with-love
τόν μοι Πάν, Ὁμόλας ἐρατὸν πέδον ὅστε λέλογχας,
him for-me Pan of-Homole lovely plain who have-as-your-lot
ἄκλητον κείνοιο φίλας ἐς χεῖρας ἐρείσαις,
uninvited of-that-one dear into arms may-you-press
εἴτ' ἐστ' ἆρα Φιλῖνος ὁ μαλθακὸς εἴτέ τις ἄλλος.
whether is then Philinus the soft or some other
κἢν μὲν ταῦτ' ἔρδῃς ὦ Πὰν φίλε, μή τί τυ παῖδες
and-if indeed these you-do O Pan dear not at-all you boys
Ἀρκαδικοὶ σκίλλαισιν ὑπὸ πλευράς τε καὶ ὤμους
Arcadian with-squills under ribs both and shoulders
τανίκα μαστίσδοιεν, ὅτε κρέα τυτθὰ παρείη·
at-the-time may-whip when meat scanty is-at-hand
εἰ δ' ἄλλως νεύσαις, κατὰ μὲν χρόα πάντ' ὀνύχεσσι
if but otherwise you-nod down indeed skin all with-nails
δακνόμενος κνάσαιο καὶ ἐν κνίδαισι καθεύδοις,
bitten may-you-scratch and in nettles may-you-sleep
εἴης δ' Ἠδωνῶν μὲν ἐν ὄρεσι χείματι μέσσῳ
may-you-be and of-the-Edonians indeed in mountains in-winter mid

Ἔβρον πὰρ ποταμὸν τετραμμένος ἐγγύθεν ἄρκτω,
Hebrus by river turned near the-Bear
ἐν δὲ θέρει πυμάτοισι παρ' Αἰθιόπεσσι νομεύοις
in and summer farthest by Ethiopians may-you-pasture
πέτρᾳ ὕπο Βλεμύων, ὅθεν οὐκέτι Νεῖλος ὁρατός.
rock under of-the-Blemyes whence no-longer the-Nile is-seen
ὔμμες δ' Ὑετίδος καὶ Βυβλίδος ἁδὺ λιπόντες
you and of-Hyetis and of-Byblis sweet leaving
νᾶμα καὶ Οἰκεῦντα, ξανθᾶς ἕδος αἰπὺ Διώνας,
stream and Oecus of-golden the-seat steep Dione
ὦ μάλοισιν Ἔρωτες ἐρευθομένοισιν ὁμοῖοι,
O to-apples Loves blushing like
βάλλετέ μοι τόξοισι τὸν ἱμερόεντα Φιλῖνον,
strike for-me with-bows the lovely Philinus
βάλλετ', ἐπεὶ τὸν ξεῖνον ὁ δύσμορος οὐκ ἐλεεῖ μευ.
strike since the stranger the luckless not pities me
καὶ δὴ μὰν ἀπίοιο πεπαίτερος, αἱ δὲ γυναῖκες
and indeed indeed than-a-pear riper the and women
"αἰαῖ" φαντὶ "Φιλῖνε, τό τοι καλὸν ἄνθος ἀπορρεῖ."
alas say Philinus the to-you fair flower falls-away
μηκέτι τοι φρουρέωμες ἐπὶ προθύροισιν Ἄρατε,
no-longer you-know let-us-keep-watch at the-porch Aratus
μηδὲ πόδας τρίβωμες· ὁ δ' ὄρθριος ἄλλον ἀλέκτωρ
nor feet wear-out the and early another cock
κοκκύζων νάρκαισιν ἀνιαραῖσι διδοίη,
crowing to-numbness grievous may-give
εἷς δ' ἀπὸ τᾶσδε φέριστε Μόλων ἄγχοιτο παλαίστρας,
one and from this best-of-men Molon may-choke wrestling-school
ἄμμιν δ' ἀσυχία τε μέλοι γραία τε παρείη,
to-us and quiet both may-be-a-care an-old-woman and be-at-hand

ἄτις ἐπιφθύζοισα τὰ μὴ καλὰ νόσφιν ἐρύκοι.
who spitting the not fair afar may-keep

Τόσσ' ἐφάμαν· ὁ δέ μοι τὸ λαγωβόλον, ἁδὺ γελάσσας
So-much I-spoke he and to-me the hare-stick sweetly laughing
ὡς πάρος, ἐκ Μοισᾶν ξεινήιον ὤπασεν εἶμεν.
as before from the-Muses as-a-guest-gift gave to-be
χὠ μὲν ἀποκλίνας ἐπ' ἀριστερὰ τὰν ἐπὶ Πύξας
and-he indeed turning-aside to the-left the to Pyxa
εἶρφ' ὁδόν, αὐτὰρ ἐγώ τε καὶ Εὔκριτος ἐς Φρασιδάμω
went the-road but I both and Eucritus to of-Phrasidamus
στραφθέντες χὠ καλὸς Ἀμύντιχος ἔν τε βαθείαις
turning and-the fair Amyntichus in and deep
ἁδείας σχοίνοιο χαμευνίσιν ἐκλίνθημες
of-sweet rush beds we-lay-down
ἔν τε νεοτμάτοισι γεγαθότες οἰναρέοισι.
in and fresh-cut rejoicing vine-leaves
πολλαὶ δ' ἁμὶν ὕπερθε κατὰ κρατὸς δονέοντο
many and for-us above over head were-waving
αἴγειροι πτελέαι τε· τὸ δ' ἐγγύθεν ἱερὸν ὕδωρ
poplars elms and the and near sacred water
Νυμφᾶν ἐξ ἄντροιο κατειβόμενον κελάρυζε.
of-the-Nymphs from the-cave trickling babbled
τοὶ δὲ ποτὶ σκιαραῖς ὀροδαμνίσιν αἰθαλίωνες
the and on shady boughs sunburnt
τέττιγες λαλαγεῦντες ἔχον πόνον· ἁ δ' ὀλολυγὼν
cicadas chattering had toil the and tree-frog
τηλόθεν ἐν πυκιναῖσι βάτων τρύζεσκεν ἀκάνθαις.
from-afar in thick of-brambles croaked thorns
ἄειδον κόρυδοι καὶ ἀκανθίδες, ἔστενε τρυγών,
sang larks and goldfinches moaned the-turtle-dove

πωτῶντο ξουθαὶ περὶ πίδακας ἀμφὶ μέλισσαι.
flitted tawny around the-springs around bees
πάντ᾽ ὤσδεν θέρεος μάλα πίονος, ὤσδε δ᾽ ὀπώρας.
all smelled of-summer very rich smelled and of-fruit-time
ὄχναι μὲν πὰρ ποσσί, παρὰ πλευραῖσι δὲ μᾶλα
pears indeed by feet by sides and apples
δαψιλέως ἁμῖν ἐκυλίνδετο· τοὶ δ᾽ ἐκέχυντο
abundantly for-us rolled the and were-strewn
ὄρπακες βραβίλοισι καταβρίθοντες ἔραζε·
branches with-sloes weighed-down to-the-ground
τετράενες δὲ πίθων ἀπελύετο κρατὸς ἄλειφαρ.
four-year-old and of-the-jars was-loosed from-the-head seal
νύμφαι Κασταλίδες Παρνάσιον αἶπος ἔχοισαι,
nymphs Castalian Parnassian height holding
ἆρά γέ πᾳ τοιόνδε Φόλω κατὰ λάινον ἄντρον
then indeed somehow such-a of-Pholus in rocky cave
κρατῆρ᾽ Ἡρακλῆι γέρων ἐστήσατο Χείρων;
bowl for-Heracles old set Chiron
ἆρά γέ πᾳ τῆνον τὸν ποιμένα τὸν ποτ᾽ Ἀνάπῳ,
then indeed somehow that the shepherd the by Anapus
τὸν κρατερὸν Πολύφαμον, ὃς ὤρεσι νᾶας ἔβαλλε,
the mighty Polyphemus who with-mountains ships pelted
τοῖον νέκταρ ἔπεισε κατ᾽ αὐλία ποσσὶ χορεῦσαι,
such nectar persuaded through the-folds with-feet to-dance
οἷον δὴ τόκα πῶμα διεκρανάσατε Νύμφαι
as indeed then drink you-mingled Nymphs
βωμῷ πὰρ Δάματρος ἀλῳάδος; ἇς ἐπὶ σωρῷ
altar by of-Demeter of-the-threshing-floor whose on heap

αὖθις ἐγὼ πάξαιμι μέγα πτύον, ἁ δὲ γελάσσαι
again I may-plant great winnowing-fan she and may-laugh
δράγματα καὶ μάκωνας ἐν ἀμφοτέραισιν ἔχοισα.
sheaves and poppies in both-hands holding

Βουκολιασταὶ Δάφνις καὶ Μενάλκας

VIII · DAPHNIS AND MENALCAS

The young cowherd Daphnis and shepherd Menalcas stake their pipes on a song, with a goatherd as judge. In elegiac quatrains and hexameters they praise their herds, the countryside, and their loves, Menalcas' Milon and Daphnis' girl, and pray for the land's fullness. The goatherd gives the prize to Daphnis, who leaps for joy; Menalcas grieves, and Daphnis becomes first among herdsmen and marries a Naiad.

Δάφνιδι τῷ χαρίεντι συνήντετο βουκολέοντι
Daphnis the charming met herding-cattle
μᾶλα νέμων, ὡς φαντί, κατ' ὄρεα μακρὰ Μενάλκας.
flocks pasturing as they-say on mountains tall Menalcas
ἄμφω τώγ' ἦστην πυρροτρίχω, ἄμφω ἀνάβω,
both they-two were red-haired both beardless
ἄμφω συρίσδεν δεδαημένω, ἄμφω ἀείδεν.
both to-pipe skilled both to-sing
πρᾶτος δ' ὢν ποτὶ Δάφνιν ἰδὼν ἀγόρευε Μενάλκας·
first and then toward Daphnis looking spoke Menalcas
"μυκητᾶν ἐπίουρε βοῶν Δάφνι, λῇς μοι ἀεῖσαι;
of-lowing guardian cows Daphnis will-you for-me to-sing
φαμί τυ νικασεῖν, ὅσσον θέλω αὐτὸς ἀείδων."
I-say you to-beat as-much-as I-will myself singing
τὸν δ' ἄρα χὠ Δάφνις τοιῷδ' ἀπαμείβετο μύθῳ·
him and then and Daphnis with-such answered word

"ποιμὴν εἰροπόκων ὀίων συριγκτὰ Μενάλκα,
shepherd of-fleecy sheep piper Menalcas
οὔποτε νικασεῖς μ', οὐδ' εἴ τι πάθοις τύγ' ἀείδων." 10
never will-you-beat me not-even if anything you-suffered you singing
ΜΕΝΑΛΚΑΣ χρῄσδεις ὦν ἐσιδεῖν; χρῄσδεις καταθεῖναι ἄεθλον;
do-you-wish then to-see do-you-wish to-stake a-prize
ΔΑΦΝΙΣ χρῄσδω τοῦτ' ἐσιδεῖν, χρῄσδω καταθεῖναι ἄεθλον.
I-wish this to-see I-wish to-stake a-prize
ΜΕΝΑΛΚΑΣ καὶ τίνα θησεύμεσθ', ὅτις ἁμῖν ἄρκιος εἴη;
and what shall-we-stake which for-us sufficient might-be
ΔΑΦΝΙΣ μόσχον ἐγὼ θησῶ· τὺ δὲ θὲς ἰσομάτορα ἀμνόν.
a-calf I will-stake you and stake as-big-as-its-mother a-lamb
ΜΕΝΑΛΚΑΣ οὐ θησῶ ποκα ἀμνόν, ἐπεὶ χαλεπὸς ὁ πατήρ μευ 15
not I-will-stake ever a-lamb since harsh the father my
χἁ μάτηρ, τὰ δὲ μᾶλα ποθέσπερα πάντ' ἀριθμεῦντι.
and-the mother the and flocks at-evening all count
ΔΑΦΝΙΣ ἀλλὰ τί μὰν θησεῖς; τί δὲ τὸ πλέον ἕξεῖ ὁ νικῶν;
but what indeed will-you-stake what and the more will-have the victor
ΜΕΝΑΛΚΑΣ σύριγγ' ἂν ἐπόησα καλὰν ἐγὼ ἐννεάφωνον,
a-pipe which I-made fair I nine-voiced
λευκὸν κηρὸν ἔχοισαν, ἴσον κάτω, ἶσον ἄνωθεν,
white wax having equal below equal above
ταύταν κατθείην, τὰ δὲ τῶ πατρὸς οὐ καταθησῶ. 20
this I-would-stake the but of-the father not will-I-stake
ΔΑΦΝΙΣ ἦ μάν τοι κἠγὼ σύριγγ' ἔχω ἐννεάφωνον.
truly indeed to-you and-I a-pipe have nine-voiced
λευκὸν κηρὸν ἔχοισαν, ἴσον κάτω, ἶσον ἄνωθεν.
white wax having equal below equal above
πρώαν νιν συνέπαξ'· ἔτι καὶ τὸν δάκτυλον ἀλγέω
lately it I-joined still even the finger I-ache

τοῦτον, ἐπεὶ κάλαμός με διασχισθεὶς διέτμαξεν.
this since a-reed me having-been-split cut

ΜΕΝΑΛΚΑΣ ἀλλὰ τίς ἄμμε κρινεῖ; τίς ἐπάκοος ἔσσεται ἁμέων;
but who us will-judge who hearer will-be of-us

ΔΑΦΝΙΣ τῆνον πῶς ἐνταῦθα τὸν αἰπόλον ἦν καλέσωμες;
that how here the goatherd if we-call

ᾧ ποτὶ ταῖς ἐρίφοις ὁ κύων ὁ φάλαρος ὑλακτεῖ.
whom at the kids the dog the white-patched barks

Χοί μὲν παῖδες ἄυσαν, ὁ δ' αἰπόλος ἦνθ' ἐπακοῦσαι.
And-the indeed boys shouted he and goatherd came to-hear

χοί μὲν παῖδες ἄειδον, ὁ δ' αἰπόλος ἤθελε κρίνειν.
and-the indeed boys sang he and goatherd was-willing to-judge

πρᾶτος δ' ὢν ἄειδε λαχὼν ὐκτὰ Μενάλκας,
first and then sang having-won-the-lot clear-voiced Menalcas

εἶτα δ' ἀμοιβαίαν ὑπελάμβανε Δάφνις ἀοιδάν.
then and the-answering took-up Daphnis song

ΜΕΝΑΛΚΑΣ Ἄγκεα καὶ ποταμοί, θεῖον γένος, αἴ τι Μενάλκας
Glens and rivers divine race if ever Menalcas

πήποχ' ὁ συριγκτὰς προσφιλὲς ᾖσε μέλος,
ever the piper pleasing sang song

βόσκοιτ' ἐκ ψυχᾶς τὰς ἀμνάδας· ἦν δέ ποκ' ἔνθῃ
may-you-feed from heart the lambs if and ever come

Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.
Daphnis having heifers nothing less may-he-have

ΔΑΦΝΙΣ κρᾶναι καὶ βοτάναι, γλυκερὸν φυτόν, αἴπερ ὁμοῖον
springs and pastures sweet growth if-indeed like

μουσίσδει Δάφνις ταῖσιν ἀηδονίσι,
makes-music Daphnis to-the nightingales

τοῦτο τὸ βουκόλιον πιαίνετε· κἤν τι Μενάλκας
this the herd fatten and-if any Menalcas

τεῖδ᾽ ἀγάγῃ, χαίρων ἄφθονα πάντα νέμοι.
here bring rejoicing unstinted all may-he-pasture

ΜΕΝΑΛΚΑΣ ἔνθ᾽ ὄις, ἔνθ᾽ αἶγες διδυματόκοι, ἔνθα μέλισσαι
there sheep there goats twin-bearing there bees

σμήνεα πληροῦσιν, καὶ δρύες ὑψίτεραι,
hives fill and oaks higher

ἔνθ᾽ ὁ καλὸς Μίλων βαίνει ποσίν· αἰ δ᾽ ἂν ἀφέρπῃ,
there the fair Milon walks with-feet if but — he-go-off

χὠ ποιμὴν ξηρὸς τηνόθι χαἰ βοτάναι.
and-the shepherd dry there and-the pastures

ΔΑΦΝΙΣ παντᾷ ἔαρ, παντᾷ δὲ νομοί, παντᾷ δὲ γάλακτος
everywhere spring everywhere and pastures everywhere and of-milk

οὔθατα πλήθουσιν, καὶ τὰ νέα τρέφεται,
udders are-full and the young are-reared

ἐνθ᾽ ἁ καλὰ παῖς ἐπινίσσεται· αἰ δ᾽ ἂν ἀφέρπῃ,
there the fair girl comes-up if but — she-go-off

χὠ τὰς βῶς βόσκων χαἰ βόες αὐότεραι.
and-he the cows grazing and-the cows drier

ΜΕΝΑΛΚΑΣ ὦ τράγε, τᾶν λευκᾶν αἰγῶν ἄνερ, ὦ βάθος ὕλας
O he-goat of-the white goats husband O depth of-wood

μυρίον, (ὦ σιμαὶ δεῦτ᾽ ἐφ᾽ ὕδωρ ἔριφοι·)
boundless O snub-nosed come-hither to water kids

ἐν τήνῳ γὰρ τῆνος· ἴθ᾽ ὦ κόλε καὶ λέγε· Μίλων,
in that-place for that-one go O hornless and tell Milon

ὁ Πρωτεὺς φώκας καὶ θεὸς ὢν ἔνεμε.
— Proteus seals even god being herded

ΔΑΦΝΙΣ μή μοι γᾶν Πέλοπος, μή μοι χρύσεια τάλαντα
not to-me the-land of-Pelops not to-me golden talents

εἴη ἔχειν, μηδὲ πρόσθε θέειν ἀνέμων·
may-it-be to-have nor before to-run winds

ἀλλ᾽ ὑπὸ τᾷ πέτρᾳ τᾷδ᾽ ᾄσομαι, ἀγκὰς ἔχων τυ,
but under the rock this I-will-sing in-arms holding you
σύννομα μᾶλ᾽ ἐσορῶν, τὰν Σικελὰν ἐς ἅλα.
grazing-together flocks looking-at the Sicilian toward sea
ΔΑΦΝΙΣ δένδρεσι μὲν χειμὼν φοβερὸν κακόν, ὕδασι δ᾽ αὐχμός,
to-trees indeed winter dread evil to-waters and drought
ὄρνισιν δ᾽ ὕσπλαγξ, ἀγροτέροις δὲ λίνα,
to-birds and the-snare to-beasts and nets
ἀνδρὶ δὲ παρθενικᾶς ἁπαλᾶς πόθος. ὦ πάτερ ὦ Ζεῦ,
to-man and of-a-maiden tender longing O father O Zeus
οὐ μόνος ἠράσθην· καὶ τὺ γυναικοφίλας.
not alone I-fell-in-love also you a-lover-of-women
Ταῦτα μὲν ὦν δι᾽ ἀμοιβαίων οἱ παῖδες ἄεισαν·
These indeed then in exchanges the boys sang
τὰν πυμάταν δ᾽ ᾠδὰν οὕτως ἐξῆρχε Μενάλκας.
the last and song so began Menalcas
Φείδευ τᾶν ἐρίφων, φείδευ λύκε τᾶν τοκάδων μευ,
Spare the kids spare wolf the mothers my
μηδ᾽ ἀδίκει μ᾽, ὅτι μικκὸς ἐὼν πολλαῖσιν ὁμαρτέω.
nor wrong me because little being with-many I-go
ὦ Λάμπουρε κύον, οὕτω βαθὺς ὕπνος ἔχει τυ;
O Lampurus dog so deep sleep holds you
οὐ χρὴ κοιμᾶσθαι βαθέως σὺν παιδὶ νέμοντα.
not one-must to-sleep deeply with a-boy pasturing
ταὶ δ᾽ ὄιες, μηδ᾽ ὕμμες ὀκνεῖθ᾽ ἁπαλᾶς κορέσασθαι
the and sheep nor you shrink of-tender to-take-your-fill
ποίας· οὔτι καμεῖσθ᾽, ὅκκ᾽ αὖ πάλιν ἅδε φύηται.
grass not-at-all you-will-tire when again back this grows
σίττα νέμεσθε νέμεσθε, τὰ δ᾽ οὔθατα πλήσατε πᾶσαι,
shoo graze graze the and udders fill all

ὡς τὸ μὲν ὤρνες ἔχωντι, τὸ δ᾽ ἐς ταλάρως ἀποθῶμαι.
that the indeed the-lambs may-have the and into baskets I-may-put-away

Δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλλετ᾽ ἀείδειν·
Second again Daphnis clearly struck-up to-sing

κἠμὲ γὰρ ἐκ τῶντρω σύνοφρυς κόρα ἐχθὲς ἰδοῖσα
and-me for from the-cave a-meeting-browed girl yesterday seeing

τὰς δαμάλας παρελᾶντα καλὸν καλὸν ἦμεν ἔφασκεν·
the heifers driving-by fair fair to-be said

οὐ μὰν οὐδὲ λόγον ἐκρίθην ἄπο, τὤμπικρον αὐτᾷ,
not indeed not-even a-word I-answered back the-bitter to-her

ἀλλὰ κάτω βλέψας τὰν ἀμετέραν ὁδὸν εἶρπον.
but down looking the my way I-went

ἁδεῖ᾽ ἁ φωνὰ τᾶς πόρτιος, ἁδὺ τὸ πνεῦμα·
sweet the voice of-the heifer sweet the breath

ἁδὺ δὲ τῶ θέρεος παρ᾽ ὕδωρ ῥέον αἰθριοκοιτεῖν.
sweet and of-the summer by water flowing to-sleep-in-the-open

τᾷ δρυῖ ταὶ βάλανοι κόσμος, τᾷ μαλίδι μᾶλα,
to-the oak the acorns an-ornament to-the apple-tree apples

τᾷ βοῒ δ᾽ ἁ μόσχος, τῷ βουκόλῳ αἱ βόες αὐταί.
to-the cow and the calf to-the cowherd the cows themselves

Ὣς οἱ παῖδες ἄεισαν, ὁ δ᾽ αἰπόλος ὧδ᾽ ἀγόρευεν·
So the boys sang the and goatherd thus spoke

ἁδύ τι τὸ στόμα τευ καὶ ἐφίμερος ὦ Δάφνι φωνά.
sweet something the mouth your and lovely O Daphnis voice

κρέσσον μελπομένω τευ ἀκουέμεν ἢ μέλι λείχειν.
better singing you to-hear than honey to-lick

λάζεο τὰς σύριγγας· ἐνίκασας γὰρ ἀείδων.
take the pipes you-have-won for singing

αἰ δέ τι λῇς με καὶ αὐτὸν ἅμ᾽ αἰπολέοντα διδάξαι,
if and at-all you-will me also myself along herding-goats to-teach

τήναν τὰν μιτύλαν δωσῶ τὰ δίδακτρά τοι αἶγα,
that the dock-tailed I-will-give as-the fee to-you goat
ἅτις ὑπὲρ κεφαλᾶς αἰεὶ τὸν ἀμολγέα πληροῖ.
which over head always the milk-pail fills
Ὣς μὲν ὁ παῖς ἐχάρη καὶ ἀνάλατο καὶ πλατάγησε
So indeed the boy rejoiced and leapt-up and clapped
νικάσας, οὑτῶς ἐπὶ ματέρι νεβρὸς ἅλοιτο.
having-won so to mother a-fawn would-leap
90 ὡς δὲ κατεσμύχθη καὶ ἀνετράπετο φρένα λύπᾳ
so and was-burned-out and was-overturned in-heart with-grief
ὥτερος, οὕτω καὶ νύμφα γαμεθεῖσ' ἀκάχοιτο.
the-other so also a-bride married would-grieve
κἠκ τούτω πρᾶτος παρὰ ποιμέσι Δάφνις ἔγεντο,
and-from this first among shepherds Daphnis became
καὶ Νύμφαν ἄκρηβος ἐὼν ἔτι Ναΐδα γᾶμεν.
and a-Nymph in-the-bloom being still Naiad married

Βουκολιασταὶ Δάφνις καὶ Μενάλκας

IX · PASTORAL

With the opening verses secluded, the poem gives two songs. Daphnis sings of his cows and the bed of white calfskins by the cold stream; Menalcas sings of his cave under Etna, his sheep and goats, and the fire that keeps winter off. The narrator gives each a gift, a club and a conch, and closes with praise of the Muses and their song.

ΔΑΦΝΙΣ Ἁδὺ μὲν ἁ μόσχος γαρύεται, ἁδὺ δὲ χἁ βοῦς,
Sweet indeed the calf lows sweet and and-the cow
ἁδὺ δὲ χἁ σῦριγξ χὠ βουκόλος, ἁδὺ δὲ κἠγών.
sweet and and-the pipe and-the cowherd sweet and and-I

ἔστι δέ μοι παρ᾽ ὕδωρ ψυχρὸν στιβάς, ἐν δὲ νένασται
is and to-me by water cold a-bed on and are-heaped
λευκᾶν ἐκ δαμαλᾶν καλὰ δέρματα, τάς μοι ἁπάσας
white from heifers fair skins which from-me all
λὶψ κόμαρον τρωγοίσας ἀπὸ σκοπιᾶς ἐτίναξε.
the-southwest-wind arbutus munching from the-peak shook-down
τῶ δὲ θέρευς φρύγοντος ἐγὼ τόσσον μελεδαίνω,
the and of-summer parching I so-much care
ὅσσον ἐρῶντε πατρὸς μύθων καὶ ματρὸς ἀκούειν.
as-much-as lovers of-father words and of-mother to-hear
Οὕτως Δάφνις ἄεισεν ἐμίν, οὕτως δὲ Μενάλκας.
So Daphnis sang to-me so and Menalcas
ΜΕΝΑΛΚΑΣ Αἴτνα μᾶτερ ἐμά, κἠγὼ καλὸν ἄντρον ἐνοικέω
Etna mother my and-I fair cave inhabit
κοίλαις ἐν πέτραισιν· ἔχω δέ τοι ὅσσ᾽ ἐν ὀνείρῳ
hollow in rocks I-have and you-know as-many-as in a-dream
φαίνονται, πολλὰς μὲν ὄις, πολλὰς δὲ χιμαίρας,
appear many indeed sheep many and she-goats
ὧν μοι πρὸς κεφαλᾷ καὶ πρὸς ποσὶ κώεα κεῖται.
of-which for-me at head and at feet fleeces lie
ἐν πυρὶ δὲ δρυίνῳ χόρια ζεῖ, ἐν πυρὶ δ᾽ αὖαι
in fire and oaken puddings boil in fire and dry
φαγοὶ χειμαίνοντος· ἔχω δέ τοι οὐδ᾽ ὅσον ὥραν
beech-nuts when-it-storms I-have and you-know not-even as-much-as care
χείματος ἢ νωδὸς καρύων ἀμύλοιο παρόντος.
of-winter than a-toothless-one of-nuts cake being-at-hand
Τοῖς μὲν ἐπεπλατάγησα καὶ αὐτίκα δῶρον ἔδωκα,
Them indeed I-applauded and at-once a-gift gave
Δάφνιδι μὲν κορύναν, τάν μοι πατρὸς ἔτρεφεν ἀγρός,
to-Daphnis indeed a-club which for-me of-father grew field

αὐτοφυῆ, τὰν οὐδ' ἂν ἴσως μωμάσατο τέκτων,
self-grown which not — perhaps would-fault a-carpenter
τήνῳ δὲ στρόμβω καλὸν ὄστρακον, ὧ κρέας αὐτὸς
to-him and of-conch a-fair shell whose flesh myself
σιτήθην πέτραισιν ἐν Ἰκαρίαισι δοκεύσας,
I-fed-on rocks in Icarian having-watched
πέντε ταμὼν πέντ' οὖσιν· ὁ δ' ἐγκαναχήσατο κόχλῳ.
five cutting for-five being he and blew-into the-shell
Βουκολικαὶ Μοῖσαι μάλα χαίρετε, φαίνετε δ' ᾠδάς,
Pastoral Muses much farewell show and the-songs
τάς ποκ' ἐγὼ τήνοισι παρὼν ἄεισα νομεῦσι,
which once I to-those being-present sang herdsmen
μηκέτ' ἐπὶ γλώσσας ἄκρας ὀλοφυγγόνα φύσω.
no-longer on tongue tip a-blister may-I-grow
τέττιξ μὲν τέττιγι φίλος, μύρμακι δὲ μύρμαξ,
cicada indeed to-cicada dear to-ant and ant
ἴρηκες δ' ἴρηξιν, ἐμὶν δέ τε μοῖσα καὶ ᾠδά.
hawks and to-hawks to-me and — the-muse and song
τᾶς μοι πᾶς εἴη πλεῖος δόμος. οὔτε γὰρ ὕπνος
of-which for-me all may-be full house neither for sleep
οὔτ' ἔαρ ἐξαπίνας γλυκερώτερον, οὔτε μελίσσαις
nor spring suddenly sweeter nor to-bees
ἄνθεα· τόσσον ἐμὶν Μοῖσαι φίλαι. οὓς μὲν ὁρεῦντι
flowers so-much to-me Muses dear whom indeed they-look-on
γαθεῦσαι, τοὺς δ' οὔτι ποτῷ δαλήσατο Κίρκη.
rejoicing them and not-at-all with-potion harmed Circe

Ἐργατίναι ἢ Θερισταί

X · THE REAPERS

Milon, a hard worker, asks his fellow reaper Battus why he lags behind. Battus confesses he is in love with Bombyca, the flute-girl, and sings her a tender song. Milon mocks it and sings the reapers' working song of Lityerses, full of practical advice, and tells Battus his starving love is a tale for his mother in bed at dawn.

ΜΙΛΩΝ Ἐργατίνα βουκαῖε, τί νῦν ᾧζυρὲ πεπόνθεις;
Worker rustic what now O-wretch have-you-suffered
οὔθ' ἑὸν ὄγμον ἄγειν ὀρθὸν δύνᾳ, ὡς τὸ πρὶν ἄγες,
neither your swath to-lead straight you-can as the before you-led
οὔθ' ἅμα λᾳοτομεῖς τῷ πλατίον, ἀλλ' ἀπολείπῃ
nor together you-reap with-the neighbor but you-fall-behind
ὥσπερ ὄις ποίμνας, ἇς τὸν πόδα κάκτος ἔτυψε.
like a-sheep of-the-flock whose — foot a-thorn has-struck
ποιός τις δείλαν τυ καὶ ἐκ μέσω ἄματος ἐσσῇ, 5
what-sort-of somehow at-evening you and from mid day will-you-be
ὃς νῦν ἀρχόμενος τᾶς αὔλακος οὐκ ἀποτρώγεις;
who now beginning of-the furrow not you-bite-off
ΒΑΤΤΟΣ Μίλων ὀψαμάτα, πέτρας ἀπόκομμ' ἀτεράμνω,
Milon late-reaper of-rock chip unyielding
οὐδαμά τοι συνέβα ποθέσαι τινὰ τῶν ἀπεόντων;
never to-you has-it-happened to-long-for any of-the absent
ΜΙΛΩΝ οὐδαμά. τίς δὲ πόθος τῶν ἔκτοθεν ἐργάτᾳ ἀνδρί;
never what and longing of-the outside to-a-working man
ΒΑΤΤΟΣ οὐδαμά νυν συνέβα τοι ἀγρυπνῆσαι δι' ἔρωτα; 10
never then has-it-happened to-you to-lie-awake through love
ΜΙΛΩΝ μηδέ γε συμβαίη· χαλεπὸν χορίω κύνα γεῦσαι.
nor indeed may-it-happen hard of-pudding dog to-give-a-taste

ΒΑΤΤΟΣ ἀλλ᾽ ἐγὼ ὦ Μίλων ἔραμαι σχεδὸν ἑνδεκαταῖος.
but I O Milon am-in-love nearly the-eleventh-day

ΜΙΛΩΝ ἐκ πίθω ἀντλεῖς δῆλον· ἐγὼ δ᾽ ἔχω οὐδ᾽ ἅλις ὄξος.
from the-jar you-draw clearly I and have not-even enough vinegar

ΒΑΤΤΟΣ τοιγάρτοι πρὸ θυρᾶν μοι ἀπὸ σπόρω ἄσκαλα πάντα.
therefore before door for-me from sowing unhoed all

ΜΙΛΩΝ τίς δέ τυ τᾶν παίδων λυμαίνεται; ΒΑΤΤΟΣ ἁ Πολυβώτα,
who and you of-the girls torments the(-girl) of-Polybotas

ἃ πρᾶν ἀμάντεσσι παρ᾽ Ἱπποκίωνι ποταύλει.
who lately for-the-reapers at Hippocion's piped

ΜΙΛΩΝ εὗρε θεὸς τὸν ἁλιτρόν· ἔχεις πάλαι ὧν ἐπεθύμεις.
found the-god the sinner you-have long-ago what you-desired

μάντίς τοι τὰν νύκτα χροϊξεῖθ᾽ ἁ καλαμαία.
a-prophetess to-you the night will-embrace the stick-insect

ΒΑΤΤΟΣ μωμᾶσθαί μ᾽ ἄρχῃ τύ· τυφλὸς δ᾽ οὐκ αὐτὸς ὁ Πλοῦτος,
to-blame me you-begin you blind and not alone — Wealth

ἀλλὰ καὶ ὠφρόντιστος Ἔρως. μὴ δὴ μέγα μυθεῦ.
but also the-heedless Love not indeed big talk

ΜΙΛΩΝ οὐ μέγα μυθεῦμαι· τὺ μόνον κατάβαλλε τὸ λᾷον,
not big I-talk you only throw-down the swath

καί τι κόρας φιλικὸν μέλος ἀμβάλευ. ἄδιον οὕτῶς
and some of-the-girl loving song strike-up sweeter so

ἐργαξῇ· καὶ μὰν πρότερόν ποκα μουσικὸς ἦσθα.
you-will-work and indeed formerly once musical you-were

ΒΑΤΤΟΣ Μοῖσαι Πιερίδες, συναείσατε τὰν ῥαδινάν μοι
Muses Pierian sing-with-me the slender for-me

παῖδ᾽· ὧν γάρ χ᾽ ἅψησθε θεαί, καλὰ πάντα ποεῖτε.
girl whatever for — you-touch goddesses fair all you-make

Βομβύκα χαρίεσσα, Σύραν καλέοντί τυ πάντες,
Bombyca charming Syrian call you all

ἰσχνὰν ἁλιόκαυστον, ἐγὼ δὲ μόνος μελίχλωρον.
lean sunburnt I and alone honey-pale
καὶ τὸ ἴον μέλαν ἐστὶ καὶ ἁ γραπτὰ ὑάκινθος,
both the violet dark is and the lettered hyacinth
ἀλλ' ἔμπας ἐν τοῖς στεφάνοις τὰ πρᾶτα λέγονται.
but still in the garlands the first are-counted
ἁ αἴξ τὰν κύτισον, ὁ λύκος τὰν αἶγα διώκει,
the goat the clover the wolf the goat chases
ἁ γέρανος τῶροτρον, ἐγὼ δ' ἐπὶ τὶν μεμάνημαι.
the crane the-plow I and on you am-mad
αἴθέ μοι ἦς, ὅσσα Κροῖσόν ποκα φαντὶ πεπᾶσθαι,
would-that to-me were as-much-as Croesus once they-say to-have-possessed
χρύσεοι ἀμφότεροί κ' ἀνεκείμεθα τᾷ Ἀφροδίτᾳ,
golden both — we-would-be-set-up — to-Aphrodite
τὼς αὐλὼς μὲν ἔχοισα καὶ ἢ ῥόδον ἢ μᾶλον τύ,
the flutes indeed having and either a-rose or an-apple you
σχῆμα δ' ἐγὼ καὶ καινὰς ἐπ' ἀμφοτέροισιν ἀμύκλας.
garb and I and new on both slippers
Βομβύκα χαρίεσσ', οἱ μὲν πόδες ἀστράγαλοί τευς,
Bombyca charming the indeed feet knucklebones your
ἁ φωνὰ δὲ τρύχνος· τὸν μὰν τρόπον οὐκ ἔχω εἰπεῖν.
the voice and nightshade the indeed way not I-can to-say
ΜΙΛΩΝ Ἦ καλὰς ἄμμι ποέων ἐλελήθει βοῦκος ἀοιδάς.
Truly fair for-us making had-escaped-notice rustic songs
ὡς εὖ τὰν ἰδέαν τᾶς ἁρμονίας ἐμέτρησεν.
how well the form of-the harmony he-measured
ὤμοι τῶ πώγωνος, ὃν ἀλιθίως ἀνέφυσα.
ah-me for-the beard which in-vain I-grew
θᾶσαι δὴ καὶ ταῦτα τὰ τῶ θείω Λιτυέρσα.
look indeed also these the of-the divine Lityerses

Δάματερ πολύκαρπε πολύσταχυ, τοῦτο τὸ λᾱ́ον
Demeter rich-in-fruit rich-in-ears this the swath
εὔεργόν τ᾽ εἴη καὶ κάρπιμον ὅττι μάλιστα.
well-worked both may-be and fruitful as most
Σφίγγετ᾽ ἀμαλλοδέται τὰ δράγματα, μὴ παριών τις
Bind binders the sheaves lest passing someone
εἴποι· "σύκινοι ἄνδρες, ἀπώλετο χοὖτος ὁ μισθός."
say fig-wood men has-perished and-this the wage
Ἐς βορέην ἄνεμον τᾶς κόρθυος ἁ τομὰ ὔμμιν
To north wind of-the stalk the cut for-you
ἢ ζέφυρον βλεπέτω· παιίνεται ὁ στάχυς οὕτως.
or west-wind let-it-face is-fattened the ear so
Σῖτον ἀλοιῶντας φεύγειν τὸ μεσαμβρινὸν ὕπνον·
Grain threshing to-shun the noonday sleep
ἐκ καλάμας ἄχυρον τελέθει τημόσδε μάλιστα.
from the-stalk chaff comes-off at-that-time most
ἄρχεσθαι δ᾽ ἀμῶντας ἐγειρομένω κορυδαλλῶ,
to-begin and reaping waking the-lark
καὶ λήγειν εὖδοντος, ἐλινῦσαι δὲ τὸ καῦμα.
and to-stop sleeping to-rest and the heat
Εὐκτὸς ὁ τῶ βατράχω παῖδες βίος· οὐ μελεδαίνει
Enviable the of-the frog lads life not it-cares-for
τὸν προπιεῖν ἐγχεῦντα· πάρεστι γὰρ ἄφθονον αὐτῷ.
the to-drink pouring is-at-hand for unstinted for-it
Κάλλιον ὦπιμελητὰ φιλάργυρε τὸν φακὸν ἕψειν·
Better O-steward stingy the lentil to-boil
μή τι τάμῃς τὰν χεῖρα καταπρίων τὸ κύμινον.
lest at-all you-cut the hand splitting the cumin
Ταῦτα χρὴ μοχθεῦντας ἐν ἁλίῳ ἄνδρας ἀείδειν,
These-things one-must toiling in the-sun men to-sing

τὸν δὲ τεὸν βουκαῖε πρέπει λιμηρὸν ἔρωτα
the and your rustic befits starving love
μυθίσδεν τᾷ ματρὶ κατ᾽ εὐνὰν ὀρθρευοίσᾳ.
to-tell to-the mother in bed waking-at-dawn

Κύκλωψ

XI · THE CYCLOPS

To the physician Nicias, Theocritus says the only cure for love is song, as the young Cyclops Polyphemus found. Sitting on a rock above the sea, he sings to Galatea of his love, his ugliness, his wealth of flocks and cheese, his cave and its cool water, and wishes he could swim to her. At last he tells himself to mind his flocks and find another girl, and so tends his love by singing.

Οὐδὲν πὸτ τὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο
No for the love has-grown remedy other
Νικία οὔτ᾽ ἔγχριστον, ἐμὶν δοκεῖ, οὔτ᾽ ἐπίπαστον,
Nicias neither ointment to-me it-seems nor powder
ἢ ταὶ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἁδὺ
than the Pierians light and some this and sweet
γίνετ᾽ ἐπ᾽ ἀνθρώποις, εὑρεῖν δ᾽ οὐ ῥᾴδιόν ἐστι.
is among men to-find but not easy it-is
γινώσκειν δ᾽ οἶμαί τυ καλῶς ἰατρὸν ἐόντα
to-know and I-think you well a-physician being
καὶ ταῖς ἐννέα δὴ πεφιλάμενον ἔξοχα Μοίσαις.
and by-the nine indeed loved exceedingly Muses
οὕτω γοῦν ῥάιστα διᾶγ᾽ ὁ Κύκλωψ ὁ παρ᾽ ἁμῖν,
so at-any-rate most-easily passed-his-life the Cyclops the among us
ὡρχαῖος Πολύφαμος, ὅκ᾽ ἤρατο τᾶς Γαλατείας,
the-ancient Polyphemus when he-loved — Galatea

ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε.
just growing-a-beard about the mouth the temples and
ἤρατο δ᾽ οὐ μάλοις οὐδὲ ῥόδῳ οὐδὲ κικίννοις,
he-loved and not with-apples nor with-rose nor with-curls
ἀλλ᾽ ὀρθαῖς μανίαις, ἀγεῖτο δὲ πάντα πάρεργα.
but with-downright madnesses he-held and all-things secondary
πολλάκι ταὶ ὄιες ποτὶ ταὐλίον αὐταὶ ἀπῆνθον
often the sheep to the-fold of-themselves went-off
χλωρᾶς ἐκ βοτάνας· ὁ δὲ τὰν Γαλάτειαν ἀείδων
green from pasture he and — Galatea singing
αὐτόθ᾽ ἐπ᾽ ἀιόνος κατετάκετο φυκιοέσσας
there on the-shore wasted-away weedy
ἐξ ἀοῦς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος
from dawn most-hateful having under-the-heart wound
Κύπριδος ἐκ μεγάλας, τό οἱ ἤπατι πᾶξε βέλεμνον.
Cypris from great which for-him in-the-liver fixed the-dart
ἀλλὰ τὸ φάρμακον εὗρε, καθεζόμενος δ᾽ ἐπὶ πέτρας
but the remedy he-found sitting and on a-rock
ὑψηλᾶς ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα.
high to the-sea looking he-sang such-things
Ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ᾽ ἀποβάλλῃ;
O white Galatea why the lover do-you-spurn
λευκοτέρα πακτᾶς ποτιδεῖν, ἁπαλωτέρα ἀρνός,
whiter than-curd to-look-on softer than-a-lamb
μόσχω γαυροτέρα, σφριγανωτέρα ὄμφακος ὠμᾶς.
than-a-calf friskier plumper than-a-grape unripe
φοιτῇς δ᾽ αὖθ᾽ οὑτῶς, ὅκκα γλυκὺς ὕπνος ἔχῃ με,
you-come and again so whenever sweet sleep holds me
οἴχῃ δ᾽ εὐθὺς ἰοῖσ᾽, ὅκκα γλυκὺς ὕπνος ἀνῇ με,
you-go and straightway going whenever sweet sleep lets-go me

φεύγεις δ' ὥσπερ ὄις πολιὸν λύκον ἀθρήσασα.
you-flee and like a-sheep gray wolf having-seen
ἠράσθην μὲν ἔγωγα τεοῦς κόρα, ἀνίκα πρᾶτον
fell-in-love indeed I-at-least with-you girl when first
ἦνθες ἐμᾷ σὺν ματρὶ θέλοισ' ὑακίνθινα φύλλα
you-came my with mother wishing hyacinth leaves
ἐξ ὄρεος δρέψασθαι, ἐγὼ δ' ὁδὸν ἀγεμόνευον.
from the-mountain to-pluck I and the-way led
παύσασθαι δ' ἐσιδών τυ καὶ ὕστερον οὐδέ τί πᾳ νῦν
to-cease and having-seen you and afterward nor at-all somehow now
ἐκ τήνω δύναμαι· τὶν δ' οὐ μέλει, οὐ μὰ Δί' οὐδέν.
from that-time I-can to-you and not it-matters no by Zeus not-at-all
γινώσκω χαρίεσσα κόρα, τίνος ὥνεκα φεύγεις·
I-know charming girl what for-the-sake you-flee
ὥνεκά μοι λασία μὲν ὀφρῦς ἐπὶ παντὶ μετώπῳ
because for-me shaggy indeed a-brow over all forehead
ἐξ ὠτὸς τέταται ποτὶ θῶτερον ὡς μία μακρά,
from ear is-stretched to the-other as one long
εἷς δ' ὀφθαλμὸς ἔπεστι, πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.
one and eye is-upon flat and nose on lip
ἀλλ' οὗτος τοιοῦτος ἐὼν βοτὰ χίλια βόσκω,
but this-one such being flocks thousand I-graze
κἠκ τούτων τὸ κράτιστον ἀμελγόμενος γάλα πίνω·
and-from these the best milking milk I-drink
τυρὸς δ' οὐ λείπει μ' οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρᾳ,
cheese and not fails me neither in summer nor in autumn
οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ' ὑπεραχθέες αἰεί.
not of-winter at-the-height the-cheese-racks and overloaded always
συρίσδεν δ' ὡς οὔτις ἐπίσταμαι ὧδε Κυκλώπων,
to-pipe and as nobody I-know-how here of-Cyclopes

τὶν τὸ φίλον γλυκύμαλον ἁμᾷ κὠμαυτὸν ἀείδων
you the dear sweet-apple together and-myself singing
πολλάκι νυκτὸς ἀωρί. τρέφω δέ τοι ἕνδεκα νεβρὼς
often at-night untimely I-rear and for-you eleven fawns
πάσας μηνοφόρως καὶ σκύμνως τέσσαρας ἄρκτων.
all with-collars and cubs four of-bears
ἀλλ' ἀφίκευσο ποθ' ἁμέ, καὶ ἑξεῖς οὐδὲν ἔλασσον,
but come to us and you-will-have nothing less
τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθεῖν.
the gray but sea let to the-shore to-heave
ἄδιον ἐν τῶντρῳ παρ' ἐμὶν τὰν νύκτα διαξεῖς.
sweeter in the-cave with me the night you-will-pass
ἐντὶ δάφναι τηνεῖ, ἐντὶ ῥαδιναὶ κυπάρισσοι,
are bay-trees there are slender cypresses
ἔστι μέλας κισσός, ἔστ' ἄμπελος ἁ γλυκύκαρπος,
is dark ivy is vine the sweet-fruited
ἔστι ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα
is cold water which for-me the many-wooded Etna
λευκᾶς ἐκ χιόνος ποτὸν ἀμβρόσιον προΐητι.
white from snow drink ambrosial sends-forth
τίς κα τῶνδε θάλασσαν ἔχειν καὶ κύμαθ' ἕλοιτο;
who — than-these the-sea to-have and waves would-choose
αἰ δέ τοι αὐτὸς ἐγὼ δοκέω λασιώτερος ἦμεν,
if and to-you myself I seem shaggier to-be
ἐντὶ δρυὸς ξύλα μοι καὶ ὑπὸ σποδῷ ἀκάματον πῦρ.
are of-oak logs for-me and under ash unwearied fire
καιόμενος δ' ὑπὸ τεῦς καὶ τὰν ψυχὰν ἀνεχοίμαν
being-burned and by you even the soul I-would-endure
καὶ τὸν ἕν' ὀφθαλμόν, τῶ μοι γλυκερώτερον οὐδέν.
and the one eye than-which for-me sweeter nothing

ὤμοι, ὅ τ᾽ οὐκ ἔτεκέν μ᾽ ἁ μάτηρ βραγχί᾽ ἔχοντα,
ah-me that — not bore me the mother gills having
ὡς κατέδυν ποτὶ τὶν καὶ τὰν χέρα τευς ἐφίλασα,
so-that I-might-have-dived to you and the hand your kissed
αἰ μὴ τὸ στόμα λῇς, ἔφερον δέ τοι ἢ κρίνα λευκὰ
if not the mouth you-wish I-would-have-brought and to-you either lilies white
ἢ μάκων᾽ ἁπαλὰν ἐρυθρὰ πλαταγώνι᾽ ἔχοισαν.
or poppy soft red petals having
ἀλλὰ τὰ μὲν θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι,
but these indeed of-summer those and are in winter
ὥστ᾽ οὐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ᾽ ἐδυνάθην.
so-that not — to-you these to-bring together all I-could
νῦν μὰν ὦ κόριον, νῦν αὐτόγα νεῖν κε μάθοιμι,
now indeed O girl now myself to-swim — I-would-learn
αἴκά τις σὺν ναΐ πλέων ξένος ὧδ᾽ ἀφίκηται,
if some with ship sailing stranger here come
ὡς εἰδῶ, τί ποθ᾽ ἁδὺ κατοικεῖν τὸν βυθὸν ὔμμιν.
that I-may-know what ever sweet to-dwell the depth for-you
ἐξένθοις Γαλάτεια καὶ ἐξενθοῖσα λάθοιο
may-you-come-out Galatea and coming-out may-you-forget
ὥσπερ ἐγὼ νῦν ὧδε καθήμενος οἴκαδ᾽ ἀπενθεῖν.
as I now here sitting home to-go-away
ποιμαίνειν δ᾽ ἐθέλοις σὺν ἐμὶν ἅμα καὶ γάλ᾽ ἀμέλγειν
to-shepherd and may-you-wish with me together and milk to-milk
καὶ τυρὸν πᾶξαι τάμισον δριμεῖαν ἐνεῖσα.
and cheese to-set rennet sharp putting-in
ἁ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ·
the mother wrongs me alone and I-blame her
οὐδὲν πήποχ᾽ ὅλως ποτὶ τὶν φίλον εἶπεν ὑπέρ μευ,
nothing ever at-all to you kind she-said for me

καὶ ταῦτ᾽ ἆμαρ ἐπ᾽ ἆμαρ ὁρεῦσά με λεπτὸν ἐόντα.
and that day after day seeing me thin being
φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μευ
I-will-say the head and the feet both my
σφύζειν, ὡς ἀνιαθῇ, ἐπεὶ κἠγὼν ἀνιῶμαι.
to-throb that she-may-be-grieved since also-I am-grieved
ὦ Κύκλωψ Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;
O Cyclops Cyclops where the wits have-you-flown
αἴκ᾽ ἐνθὼν θαλάρως τε πλέκοις καὶ θαλλὸν ἀμάσας
if going baskets both you-would-plait and shoots gathering
ταῖς ἄρνεσσι φέροις, τάχα κα πολὺ μᾶλλον ἔχοις νῶν.
to-the lambs you-would-bring soon — much more you-would-have sense
τὰν παρεοῖσαν ἄμελγε. τί τὸν φεύγοντα διώκεις;
the present milk why the fleeing do-you-pursue
εὑρησεῖς Γαλάτειαν ἴσως καὶ καλλίον᾽ ἄλλαν.
you-will-find Galatea perhaps even fairer another
πολλαὶ συμπαίσδέν με κόραι τὰν νύκτα κέλονται,
many to-play-with me girls the night bid
κιχλίζοντι δὲ πᾶσαι, ἐπεί κ᾽ αὐταῖς ὑπακούσω
giggle and all when — to-them I-hearken
δῆλον ὅ τ᾽ ἐν τᾷ γᾷ κἠγώ τις φαίνομαι ἦμεν.
clearly that — in the land also-I someone appear to-be
Οὕτω τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα
So you-know Polyphemus shepherded the love
μουσίσδων, ῥᾷον δὲ διᾶγ᾽ ἢ εἰ χρυσὸν ἔδωκεν.
singing more-easily and passed-his-life than if gold he-had-given

Ἀίτης

XII · THE BELOVED

The poet greets his beloved returning after three days, comparing his joy to the delights of spring, sweet apples, and the nightingale. He prays that they may become a song for later ages, like the loving pair of old, and praises the Megarians who honor Diocles with a kissing contest at his tomb.

Ἦλυθες ὦ φίλε κοῦρε τρίτῃ σὺν νυκτὶ καὶ ἀοῖ;
You-have-come O dear boy the-third with night and dawn
ἤλυθες· οἱ δὲ ποθεῦντες ἐν ἤματι γηράσκουσιν.
you-have-come they and longing in a-day grow-old
ὅσσον ἔαρ χειμῶνος, ὅσον μᾶλον βραβίλοιο
as-much-as spring than-winter as-much-as apple than-sloe
ἄδιον, ὅσσον ὄις σφετέρας λασιωτέρα ἀρνός,
sweeter as-much-as sheep than-its-own shaggier lamb
ὅσσον παρθενικὴ προφέρει τριγάμοιο γυναικός,
as-much-as a-maiden surpasses thrice-married woman
ὅσσον ἐλαφροτέρη μόσχου νεβρός, ὅσσον ἀηδὼν
as-much-as nimbler than-a-calf a-fawn as-much-as nightingale
συμπάντων λιγύφωνος ἀοιδοτάτη πετεηνῶν,
of-all clear-voiced most-songful birds
τόσσον ἔμ' εὔφρανας τὺ φανείς, σκιερὰν δ' ὑπὸ φαγὸν
so-much me you-gladdened you appearing shady and under oak
ἀελίου φρύγοντος ὁδοιπόρος ἔδραμον ὥς τις.
of-the-sun scorching a-wayfarer I-ran like someone
εἴθ' ὁμαλοὶ πνεύσειαν ἐπ' ἀμφοτέροισιν Ἔρωτες
would-that equally might-breathe on both Loves
νῶιν, ἐπεσσομένοις δὲ γενοίμεθα πᾶσιν ἀοιδά.
of-us to-those-to-come and may-we-become to-all a-song

θείω δή τινε τώδε μετὰ προτέροισι γενέσθην
divine indeed some these-two among the-former were
φῶθ', ὁ μὲν εἴσπνηλος, φαίη χ' ὠμυκλαϊάσδων,
two-men the one the-inspirer would-say — the-Amyclaean-speaker
τὸν δ' ἕτερον πάλιν ὥς κεν ὁ Θεσσαλὸς εἴποι ἀίταν.
the and other again as — the Thessalian might-say beloved
ἀλλήλους δ' ἐφίλησαν ἴσῳ ζυγῷ. ἦ ῥα τότ' ἦσαν
each-other and they-loved with-equal yoke truly then then were
χρύσειοι πάλιν ἄνδρες, ὃ κἀντεφίλησ' ὁ φιληθείς.
golden again men when even-loved-back the beloved
εἰ γὰρ τοῦτο πάτερ Κρονίδα πέλοι, εἰ γὰρ ἀγήρῳ
if for this father son-of-Cronus might-be if for unaging
ἀθάνατοι, γενεαῖς δὲ διηκοσίαισιν ἔπειτα
immortals in-generations and two-hundred afterward
ἀγγείλειεν ἐμοί τις ἀνέξοδον εἰς Ἀχέροντα·
might-announce to-me someone without-return to Acheron
"ἡ σὴ νῦν φιλότης καὶ τοῦ χαρίεντος ἀίτεω
the your now love and of-the charming beloved
πᾶσι διὰ στόματος, μετὰ δ' ἠιθέοισι μάλιστα."
for-all through mouth among and young-men most
ἀλλ' ἤτοι τούτων μὲν ὑπέρτεροι Οὐρανίωνες
but truly these indeed above Heavenly-ones
ἔσσονθ' ὡς ἐθέλοντι. ἐγὼ δέ σε τὸν καλὸν αἰνέων
will-be as they-wish I and you the fair praising
ψεύδεα ῥινὸς ὕπερθεν ἀραιᾶς οὐκ ἀναφύσω.
lies nose above thin not I-will-grow
ἦν γὰρ καί τι δάκῃς, τὸ μὲν ἀβλαβὲς εὐθὺς ἔθηκας,
if for even at-all you-bite the indeed harmless at-once you-make
διπλάσιον δ' ὤνασας, ἔχων δ' ἐπίμετρον ἀπῆνθον.
double and you-help having and overmeasure I-went-away

Νισαῖοι Μεγαρῆες ἀριστεύοντες ἐρετμοῖς,
Nisaean Megarians excelling with-oars
ὄλβιοι οἰκείοιτε, τὸν Ἀττικὸν ὡς περίαλλα
blessed may-you-dwell the Attic since exceedingly
ξεῖνον ἐτιμήσασθε Διοκλέα τὸν φιλόπαιδα.
stranger you-honored Diocles the boy-loving
αἰεί οἱ περὶ τύμβον ἀολλέες εἴαρι πράτῳ
always his round the-tomb thronging at-spring first
κοῦροι ἐριδμαίνοντι φιλήματος ἄκρα φέρεσθαι.
boys contend of-kissing the-highest to-carry-off
ὃς δέ κε προσμάξῃ γλυκερώτερα χείλεσι χείλη,
who and — presses sweeter with-lips lips
βριθόμενος στεφάνοισιν ἑὰν ἐς μητέρ' ἀπῆνθεν.
laden with-garlands his-own to mother goes-away
ὄλβιος, ὅστις παισὶ φιλήματα κεῖνα διαιτᾷ.
blessed whoever for-boys kisses those judges
ἦ που τὸν χαροπὸν Γανυμήδεα πόλλ' ἐπιβωτᾷ
truly perhaps the bright-eyed Ganymede much he-invokes
Λυδίῃ ἶσον ἔχειν πέτρῃ στόμα, χρυσὸν ὁποίῃ
Lydian like to-have stone mouth gold with-which
πεύθονται μὴ φαῦλος ἐτήτυμω ἀργυραμοιβοί.
test whether base truly money-changers

Ὕλας

XIII · HYLAS

To Nicias, the poet tells how even Heracles loved: he raised the boy Hylas and took him on the Argo. When the heroes landed at the Propontis, Hylas went for water and the spring nymphs drew him into the pool. Heracles searched the woods calling him, while the Argo sailed on; the heroes mocked him as a deserter, but he reached Colchis on foot.

Οὐχ ἁμῖν τὸν Ἔρωτα μόνοις ἔτεχ', ὡς ἐδοκεῦμες,
Not for-us — Love alone begot as we-thought
Νικία, ᾧ τινι τοῦτο θεῶν ποκα τέκνον ἔγεντο.
Nicias to-whom any this of-the-gods ever child was-born
οὐχ ἁμῖν τὰ καλὰ πράτοις καλὰ φαίνεται εἶμεν,
not to-us the fair first fair seem to-be
οἳ θνατοὶ πελόμεσθα, τὸ δ' αὔριον οὐκ ἐσορῶμες·
who mortal we-are the and tomorrow not we-see
ἀλλὰ καὶ ὠμφιτρύωνος ὁ χαλκεοκάρδιος υἱός,
but even Amphitryon's the bronze-hearted son
ὃς τὸν λῖν ὑπέμεινε τὸν ἄγριον, ἤρατο παιδός,
who the lion withstood the savage loved a-boy
τῶ χαρίεντος Ὕλα, τῶ τὰν πλοκαμῖδα φορεῦντος,
the charming Hylas the-one the curl wearing
καί νιν πάντ' ἐδίδαξε πατὴρ ὡσεὶ φίλον υἱέα,
and him all-things taught father as dear son
ὅσσα μαθὼν ἀγαθὸς καὶ ἀοίδιμος αὐτὸς ἔγεντο·
as-many-as having-learned good and famed-in-song himself became
χωρὶς δ' οὐδέποκ' ἦς, οὔτ' εἰ μέσον ἅμαρ ὄροιτο,
apart and never he-was neither if mid day should-rise
οὔτ' ἄρ' ὅχ' ἁ λεύκιππος ἀνατρέχοι ἐς Διὸς Ἀώς,
nor then when the white-horsed should-run-up to of-Zeus Dawn

οὐδ᾽ ὁπόκ᾽ ὀρτάλιχοι μινυροὶ ποτὶ κοῖτον ὁρῷεν,
nor when chicks peeping to roost should-look
σεισαμένας πτερὰ ματρὸς ἐπ᾽ αἰθαλόεντι πετεύρῳ,
shaking wings mother on sooty perch
ὡς αὐτῷ κατὰ θυμὸν ὁ παῖς πεποναμένος εἴη,
that for-him to heart the boy fashioned might-be
αὐτῷ δ᾽ εὖ ἕλκων ἐς ἀλαθινὸν ἄνδρ᾽ ἀποβαίη.
for-him and well pulling to true man might-turn-out
ἀλλ᾽ ὅτε τὸ χρύσειον ἔπλει μετὰ κῶας Ἰήσων
but when the golden sailed after fleece Jason
Αἰσονίδας, οἱ δ᾽ αὐτῷ ἀριστῆες συνέποντο
son-of-Aeson they and him chiefs followed
πασᾶν ἐκ πολίων προλελεγμένοι, ὧν ὄφελός τι,
all from cities chosen of-whom use any
ἵκετο χὠ ταλαεργὸς ἀνὴρ ἐς ἀφνειὸν Ἰωλκόν,
came and-the much-enduring man to wealthy Iolcus
Ἀλκμήνης υἱὸς Μιδεάτιδος ἡρωίνης,
of-Alcmena son of-Midea heroine
σὺν δ᾽ αὐτῷ κατέβαινεν Ὕλας εὔεδρον ἐς Ἀργώ,
with and him went-down Hylas well-benched to Argo
ἅτις κυανεᾶν οὐχ ἥψατο συνδρομάδων ναῦς,
which dark not touched clashing ship
ἀλλὰ διεξάιξε — βαθὺν δ᾽ εἰσέδραμε Φᾶσιν —
but darted-through deep and ran-into Phasis
αἰετὸς ἐς μέγα λαῖτμα· ἀφ᾽ οὗ τότε χοιράδες ἔσταν.
an-eagle to great gulf from which then rocks stood
ἦμος δ᾽ ἀντέλλοντι Πελειάδες, ἐσχατιαὶ δὲ
when and rise the-Pleiades the-uplands and
ἄρνα νέον βόσκοντι, τετραμμένου εἴαρος ἤδη,
lamb young pasture turned spring already

τᾶμος ναυτιλίας μιμνάσκετο θεῖος ἄωτος
then of-voyaging remembered divine flower
ἡρώων, κοίλαν δὲ καθιδρυνθέντες ἐς Ἀργὼ
of-heroes hollow and seated into Argo
Ἑλλάσποντον ἵκοντο νότῳ τρίτον ἆμαρ ἀέντι,
Hellespont they-reached with-south-wind third day blowing
εἴσω δ' ὅρμον ἔθεντο Προποντίδος, ἔνθα Κιανῶν
within and harbor they-made Propontis where of-the-Cianians
αὔλακας εὐρύνοντι βόες τρίβοντες ἄροτρα.
furrows widen oxen wearing plows
ἐκβάντες δ' ἐπὶ θῖνα κατὰ ζυγὰ δαῖτα πένοντο
going-out and on the-shore by benches supper prepared
δειελινοί, πολλοὶ δὲ μίαν στορέσαντο χαμεύναν.
at-evening many and one strewed bed
λειμὼν γάρ σφιν ἔκειτο, μέγα στιβάδεσσιν ὄνειαρ,
meadow for to-them lay great for-bedding a-boon
ἔνθεν βούτομον ὀξὺ βαθύν τ' ἐτάμοντο κύπειρον.
thence flowering-rush sharp deep and they-cut galingale
κᾠχεθ' Ὕλας ὁ ξανθὸς ὕδωρ ἐπιδόρπιον οἰσῶν
and-went Hylas the golden water for-supper to-bring
αὐτῷ θ' Ἡρακλῆι καὶ ἀστεμφεῖ Τελαμῶνι,
for-himself both Heracles and steadfast Telamon
οἳ μίαν ἄμφω ἑταῖροι ἀεὶ δαίνυντο τράπεζαν,
who one both comrades always feasted-at table
χάλκεον ἄγγος ἔχων. τάχα δὲ κράναν ἐνόησεν
bronze vessel having soon and a-spring he-noticed
ἡμένῳ ἐν χώρῳ· περὶ δὲ θρύα πολλὰ πεφύκει,
low in place round and rushes many grew
κυάνεόν τε χελιδόνιον χλωρόν τ' ἀδίαντον
dark and swallow-wort green and maidenhair

καὶ θάλλοντα σέλινα καὶ εἰλιτενὴς ἄγρωστις.
and blooming parsley and creeping dog's-tooth
ὕδατι δ' ἐν μέσσῳ Νύμφαι χορὸν ἀρτίζοντο,
water and in middle Nymphs dance were-arranging
νύμφαι ἀκοίμητοι, δειναὶ θεαὶ ἀγροιώταις,
nymphs sleepless dread goddesses to-countrymen
Εὐνείκα καὶ Μαλὶς ἔαρ θ' ὁρόωσα Νύχεια,
Eunica and Malis spring and looking Nycheia
ἤτοι ὁ κοῦρος ἐπεῖχε ποτῷ πολυχανδέα κρωσσὸν
truly the boy held to-the-drink wide-mouthed pitcher
βάψαι ἐπειγόμενος, ταὶ δ' ἐν χερὶ πᾶσαι ἔφυσαν·
to-dip hastening they and on hand all clung
πασάων γὰρ ἔρως ἁπαλὰς φρένας ἐξεσόβησεν
of-all for love tender hearts fluttered
Ἀργείῳ ἐπὶ παιδί· κατήριπε δ' ἐς μέλαν ὕδωρ
the-Argive over boy he-fell and into dark water
ἀθρόος, ὡς ὅτε πυρσὸς ἀπ' οὐρανοῦ ἤριπεν ἀστὴρ
headlong as when fiery from heaven falls star
ἀθρόος, ἐν πόντῳ, ναύταις δέ τις εἶπεν ἑταίροις·
headlong into sea to-sailors and some said comrades
"κουφότερ' ὦ παῖδες ποιεῖσθ' ὅπλα· πνευστικὸς οὖρος."
lighter O lads make tackle breezy the-wind
νύμφαι μὲν σφετέροις ἐπὶ γούνασι κοῦρον ἔχοισαι
nymphs indeed their-own on knees the-boy holding
δακρυόεντ' ἀγανοῖσι παρεψύχοντ' ἐπέεσσιν.
weeping with-gentle consoled words
Ἀμφιτρυωνιάδας δὲ ταρασσόμενος περὶ παιδὶ
the-son-of-Amphitryon but troubled about the-boy
ᾤχετο, μαιωτιστὶ λαβὼν εὐκαμπέα τόξα
went Maeotian-style taking well-bent bow

καὶ ῥόπαλον, τό οἱ αἰὲν ἐχάνδανε δεξιτερὴ χείρ.
and club which to-him always held right hand
τρὶς μὲν Ὕλαν ἄυσεν, ὅσον βαρὺς ἤρυγε λαιμός·
thrice indeed Hylas he-shouted as-loud-as deep roared throat
τρὶς δ' ἄρ' ὁ παῖς ὑπάκουσεν, ἀραιὰ δ' ἵκετο φωνὰ
thrice and then the boy answered faint and came voice
ἐξ ὕδατος, παρεὼν δὲ μάλα σχεδὸν εἴδετο πόρρω.
from water being-near and very close it-seemed far
ὡς δ' ὁπότ' ἠυγένειος ἀπόπροθι λῖς ἐσακούσας†,
as and when a-fair-maned far-off lion having-heard
νεβροῦ φθεγξαμένας τις ἐν οὔρεσιν ὠμοφάγος λῖς
of-a-fawn crying some in mountains raw-eating lion
ἐξ εὐνᾶς ἔσπευσεν ἑτοιμοτάταν ἐπὶ δαῖτα·
from lair hastens readiest to meal
Ἡρακλέης τοιοῦτος ἐν ἀτρίπτοισιν ἀκάνθαις
Heracles such in untrodden thorns
παῖδα ποθῶν δεδόνητο, πολὺν δ' ἐπελάμβανε χῶρον.
the-boy longing-for was-driven much and he-covered ground
σχέτλιοι οἱ φιλέοντες· ἀλώμενος ὅσσ' ἐμόγησεν
wretched the lovers wandering how-much he-toiled
οὔρεα καὶ δρυμούς, τὰ δ' Ἰήσονος ὕστερα πάντ' ἦς.
mountains and thickets the but of-Jason later all were
ναῦς γέμεν ἄρμεν' ἔχοισα μετάρσια τῶν παρεόντων,
ship to-be-laden tackle having aloft of-those present
ἱστία δ' ἡμίθεοι μεσονύκτιον ἐξεκάθαιρον
sails and the-demigods at-midnight cleared
Ἡρακλῆα μένοντες. ὁ δ' ᾗ πόδες ἦγον ἐχώρει
Heracles awaiting he but where feet led went
μαινόμενος· χαλεπὸς γὰρ ἔσω θεὸς ἧπαρ ἄμυσσεν.
raving cruel for within god liver tore

οὕτω μὲν κάλλιστος Ὕλας μακάρων ἀμιθρεῖται·
so indeed fairest Hylas among-the-blest is-numbered
Ἡρακλέην δ' ἥρωες ἐκερτόμεον λιποναύταν,
Heracles and the-heroes taunted deserter-of-the-ship
οὕνεκεν ἠρώησε τριακοντάζυγον Ἀργώ,
because he-left thirty-benched Argo
πεζᾷ δ' ἐς Κόλχους τε καὶ ἄξενον ἵκετο Φᾶσιν. 75
on-foot and to Colchians both and inhospitable came Phasis

Κυνίσκας Ἔρως ἢ Θυώνιχος

XIV · AESCHINAS AND THYONICHUS

Aeschinas tells his friend Thyonichus how at a drinking party Cynisca wept at a song about her lover Lycus; he struck her and she left him. Wretched for two months, he plans to go abroad as a soldier. Thyonichus recommends the service of Ptolemy, a generous and cultivated king, and urges him to act while he is young.

ΑΙΣΧΙΝΗΣ Χαίρειν πολλὰ τὸν ἄνδρα Θυώνιχον.
To-rejoice much the man Thyonichus
ΘΤΩΝΙΧΟΣ ἀλλὰ τὺ ταὐτά,
but you the-same
Αἰσχίνα. ΑΙΣΧΙΝΗΣ ὡς χρόνιος. ΘΤΩΝΙΧΟΣ χρόνιος;
Aeschinas how long long
τί δέ τοι τὸ μέλημα;
what and to-you the care
ΑΙΣΧΙΝΗΣ πράσσομες οὐχ ὡς λῷστα Θυώνιχε.
we-fare not as best Thyonichus
ΘΤΩΝΙΧΟΣ ταῦτ' ἄρα λεπτός,
for-this then thin

χὠ μύσταξ πολὺς οὗτος, ἀυσταλέοι δὲ κίκιννοι.
and-the mustache long this dry and curls
τοιοῦτος πρώαν τις ἀφίκετο Πυθαγορικτάς,
such lately someone came a-Pythagorist
ὠχρὸς κἀνυπόδητος· Ἀθηναῖος δ' ἔφατ' ἦμεν.
pale and-unshod Athenian and he-said to-be
ἤρατο μὰν καὶ τῆνος, ἐμὶν δοκεῖ, ὀπτῶ ἀλεύρω.
was-in-love indeed also that-one to-me it-seems with-baked flour
ΑΙΣΧΙΝΗΣ παίσδεις ὦγάθ' ἔχων· ἐμὲ δ' ἁ χαρίεσσα Κυνίσκα
you-jest O-good-sir having me and the charming Cynisca
ὑβρίσδει· λασῶ δὲ μανείς ποκα, θρὶξ ἀνὰ μέσσον.
outrages I-shall-escape-notice and gone-mad some-day a-hair in between
ΘΤΩΝΙΧΟΣ τοιοῦτος μὲν ἀεὶ τὺ φίλ' Αἰσχίνα, ἁσυχᾷ ὀξύς,
such indeed always you dear Aeschinas quietly sharp
πάντ' ἐθέλων κατὰ καιρόν· ὅμως δ' εἶπον, τί τὸ καινόν.
all wishing in season yet but tell what the new
ΑΙΣΧΙΝΗΣ ὠργεῖος κἠγὼ καὶ ὁ Θεσσαλὸς ἱπποδιώκτας
the-Argive and-I and the Thessalian horse-trainer
Ἆπις καὶ Κλεύνικος ἐπίνομες ὁ στρατιώτας
Apis and Cleunicus we-were-drinking the soldier
ἐν χώρῳ παρ' ἐμίν. δύο μὲν κατέκοψα νεοσσὼς
in place at mine two indeed I-killed chickens
θηλάζοντά τε χοῖρον, ἀνῷξα δὲ βίβλινον αὐτοῖς
sucking and pig I-opened and Bibline for-them
εὐώδη, τετόρων ἐτέων, σχεδὸν ὡς ἀπὸ λανῶ.
fragrant four years nearly as from the-wine-press
βολβὸς κτεὶς κοχλίας ἐξηρέθη. ἦς πότος ἁδύς.
onion a-scallop snails were-taken-out was a-drinking sweet
ἤδη δὲ προϊόντος, ἔδοξ' ἐπιχεῖσθαι ἄκρατον
already and going-on it-seemed-good to-pour-in unmixed

ὥτινος ἤθελ᾽ ἕκαστος· ἔδει μόνον ὥτινος εἰπεῖν.
to-whomever wished each one-had only to-whom to-say
ἄμμες μὲν φωνεῦντες ἐπίνομες, ὡς ἐδέδοκτο·
we indeed naming were-drinking as had-been-decided
ἁ δ᾽ οὐδὲν παρεόντος ἐμεῦ. τίν᾽ ἔχειν με δοκεῖς νοῦν;
she but nothing being-present me what to-have me do-you-think mind
“οὐ φθεγξῇ; λύκον εἶδες·” ἔπαιξέ τις. “ὡς σοφός” εἶπε,
not will-you-speak a-wolf you-saw jested someone as clever said
κἠφᾶπτ᾽· εὐμαρέως κεν ἀπ᾽ αὐτᾶς καὶ λύχνον ἅψας.
and-she-was-kindled easily — from her even a-lamp you-could-light
ἔστι Λύκος, Λύκος ἐστί, Λάβα τῶ γείτονος υἱός,
there-is Lycus Lycus is of-Labas the neighbor son
εὐμάκης ἁπαλός, πολλοῖς δοκέων καλὸς ἦμεν.
tall soft by-many seeming handsome to-be
τούτω τὸν κλύμενον κατετάκετο τῆνον ἔρωτα.
for-this the famous was-wasting that love
χἀμῖν τοῦτο δι᾽ ὠτὸς ἔγεντό ποθ᾽ ἁσυχᾷ οὕτως·
and-to-me this through ear came once quietly so
οὐ μὰν ἐξήταξα μάταν εἰς ἄνδρα γενειῶν.
not indeed I-tested idly to man growing-a-beard
ἤδη δ᾽ ὢν πόσιος τοὶ τέσσαρες ἐν βάθει ἦμες,
already and then of-drinking the four in deep we-were
χὠ Λαρισαῖος “τὸν ἐμὸν Λύκον” ᾄδεν ἀπ᾽ ἀρχᾶς,
and-the Larissan the my Lycus sang from the-beginning
Θεσσαλικόν τι μέλισμα, κακαὶ φρένες· ἁ δὲ Κυνίσκα
Thessalian some song evil mind — and Cynisca
ἔκλαι᾽ ἐξαπίνας θαλερώτερον ἢ παρὰ ματρὶ
wept suddenly more-freshly than by mother
παρθένος ἑξαέτης κόλπω ἐπιθυμήσασα.
a-maiden six-year-old for-the-lap longing

τᾶμος ἐγώ, τὸν ἴσαις τὺ Θυώνιχε, πὺξ ἐπὶ κόρρας
then I the you-know you Thyonichus with-fist on the-temple
ἤλασα, κἄλλαν αὖθις. ἀνειρύσσασα δὲ πέπλως
struck and-another again drawing-up and her-robes
ἔξω ἀπῴχετο θᾶσσον. "ἐμὸν κακόν, οὔ τοι ἀρέσκω;
out she-went-off quickly my bane not to-you I-am-pleasing
ἄλλός τοι γλυκίων ὑποκόλπιος; ἄλλον ἰοῖσα
another to-you sweeter in-your-bosom another going
θάλπε φίλον. τήνῳ τὰ σὰ δάκρυα μᾶλα ῥέοντι."
warm dear for-that-one the your tears apples flow
μάστακα δοῖσα τέκνοισιν ὑπωροφίοισι χελιδὼν
food giving to-children under-the-roof the-swallow
ἄψορρον ταχινὰ πέτεται βίον ἄλλον ἀγείρειν·
back swift flies livelihood another to-gather
ὠκυτέρα μαλακᾶς ἀπὸ δίφρακος ἔδραμε τήνα
swifter soft from chair ran she
ἰθὺ δι' ἀμφιθύρω καὶ δικλίδος, ᾗ πόδες ἦγον.
straight through porch and folding-door where feet led
αἰνός θην λέγεταί τις· ἔβα τάχα ταῦρος ἀν' ὕλαν.
a-tale surely is-told some went soon the-bull through the-wood
εἴκατι· ταὶ δ' ὀκτώ, ταὶ δ' ἐννέα, ταὶ δὲ δέκ' ἄλλαι,
twenty those and eight those and nine those and ten others
σάμερον ἑνδεκάτα, ποτίθει δύο, καὶ δύο μῆνες,
today eleventh add two and two months
ἐξ ὥ ἀπ' ἀλλάλων. οὐδ' εἰ Θρᾳκιστὶ κέκαρμαι,
since when from each-other not-even if in-Thracian-fashion I-am-shorn
οἶδε. Λύκος νῦν πάντα, Λύκῳ καὶ νυκτὸς ἀνῷκται.
knows Lycus now all to-Lycus even by-night is-opened
ἄμμες δ' οὔτε λόγῳ τινὸς ἄξιοι οὔτ' ἀριθμητοί,
we and neither of-account any worthy nor numbered

δύστηνοι Μεγαρῆες ἀτιμοτάτῃ ἐνὶ μοίρῃ.
wretched Megarians most-dishonored in place

κεἰ μὲν ἀποστέρξαιμι, τὰ πάντά κεν εἰς δέον ἔρποι.
and-if indeed I-could-cease-loving the all — to what-is-needful would-go

νῦν δὲ πόθεν; μῦς, φαντὶ Θυώνιχε, γεύμεθα πίσσας.
now and whence a-mouse they-say Thyonichus we-taste of-pitch

χὤτι τὸ φάρμακόν ἐστιν ἀμηχανέοντος ἔρωτος,
and-what the remedy is of-helpless love

οὐκ οἶδα. πλὰν Σῖμος ὁ τᾶς Ἐπιχάλκω ἐρασθεὶς
not I-know except Simus the the(-girl) of-Epichalcus having-fallen-in-love

ἐκπλεύσας ὑγιὴς ἐπανῆλθ', ἐμὸς ἁλικιώτας.
sailing-out healthy came-back my age-mate

πλευσοῦμαι κἠγὼ διαπόντιος, οὔτε κάκιστος
I-will-sail and-I over-the-sea neither worst

οὔτε πρᾶτος ἴσως, ὁμαλὸς δέ τις ὁ στρατιώτας.
nor first perhaps middling and some the soldier

ΘΤΩΝΙΧΟΣ ὤφελε μὰν χωρεῖν κατὰ νοῦν τεόν, ὤν ἐπεθύμεις
ought indeed to-go according-to mind your what you-desired

Αἰσχίνα. εἰ δ' οὕτως ἄρα τοι δοκεῖ ὥστ' ἀποδαμεῖν,
Aeschinas if but so then to-you it-seems as to-go-abroad

μισθοδότας Πτολεμαῖος ἐλευθέρῳ οἷος ἄριστος,
paymaster Ptolemy to-a-free-man such-as best

ΑΙΣΧΙΝΗΣ τἄλλα δ' ἀνὴρ ποιός τις ἐλευθέρῳ οἷος ἄριστος;
the-rest and man what-kind-of a to-a-free-man such-as best

ΘΤΩΝΙΧΟΣ εὐγνώμων, φιλόμουσος, ἐρωτικός, εἰς ἄκρον ἁδύς,
kindly fond-of-the-Muses amorous to the-utmost sweet

εἰδὼς τὸν φιλέοντα, τὸν οὐ φιλέοντ' ἔτι μᾶλλον,
knowing the friend the not friend still more

πολλοῖς πολλὰ διδούς, αἰτεύμενος οὐκ ἀνανεύων
to-many many-things giving asked not refusing

οἷα χρὴ βασιλῆ᾽· αἰτεῖν δὲ δεῖ οὐκ ἐπὶ παντὶ
as one-must a-king to-ask but one-must not upon everything
Αἰσχίνα. ὥστ᾽ εἴ τοι κατὰ δεξιὸν ὦμον ἀρέσκει
Aeschinas so-that if to-you on right shoulder it-pleases
λῶπος ἄκρον περονᾶσθαι, ἐπ᾽ ἀμφοτέροις δὲ βεβακὼς
the-cloak's edge to-pin on both and planted
τολμασεῖς ἐπιόντα μένειν θρασὺν ἀσπιδιώταν,
you-will-dare advancing to-await bold shield-bearer
ᾗ τάχος εἰς Αἴγυπτον. ἀπὸ κροτάφων πελόμεσθα
as quickly to Egypt from the-temples we-are
πάντες γηραλέοι, καὶ ἐπισχερὼ ἐς γέννυ ἕρπει
all graying and in-order to the-cheek creeps
λευκαίνων ὁ χρόνος· ποιεῖν τι δεῖ, ἅς γόνυ χλωρόν.
whitening the time to-do something one-must while knee green

Συρακούσιαι ἢ Ἀδωνιάζουσαι

XV · THE WOMEN AT THE ADONIS FESTIVAL

Gorgo visits Praxinoa, and the two grumble about their husbands. They dress and set out through the crowded streets to the Adonis festival at Ptolemy's palace. They dodge the king's horses, push through the press, and admire the tapestries. A stranger scolds them for their chatter. A singer's hymn to Aphrodite and Adonis describes the festival's offerings and the farewell at the sea. Gorgo then says she must hurry home to her husband's dinner.

ΓΟΡΓΩ Ἔνδοι Πραξινόα; ΠΡΑΞΙΝΟΑ Γοργοῖ φίλα, ὡς χρόνῳ. ἔνδοι.
At-home Praxinoa Gorgo dear how at-last at-home
θαῦμ᾽ ὅτι καὶ νῦν ἦνθες. ὅρη δίφρον Εὐνόα αὐτῇ.
a-wonder that even now you-came see a-chair Eunoa for-her
ἔμβαλε καὶ ποτίκρανον. ΓΟΡΓΩ ἔχει κάλλιστα. ΠΡΑΞΙΝΟΑ καθίζευ.
throw and a-cushion it-is fine sit-down

ΓΟΡΓΩ ὦ τᾶς ἀλεμάτω ψυχᾶς· μόλις ὔμμιν ἐσώθην
oh the foolish spirit hardly to-you I-came-safe

Πραξινόα πολλῶ μὲν ὄχλω, πολλῶν δὲ τεθρίππων. 5
Praxinoa much indeed crowd many and four-horse-chariots

παντᾷ κρηπῖδες, παντᾷ χλαμυδηφόροι ἄνδρες·
everywhere boots everywhere cloaked men

ἁ δ' ὁδὸς ἄτρυτος· τὺ δ' ἑκαστάτω ὅσσον ἀποικεῖς.
the and road endless you and farthest as-much-as you-live-away

ΠΡΑΞΙΝΟΑ ταῦθ' ὁ πάραρος τῆνος ἐπ' ἔσχατα γᾶς ἔλαβ' ἐνθὼν
these the madman that at the-ends of-earth took coming

ἰλεόν, οὐκ οἴκησιν, ὅπως μὴ γείτονες ὦμες
a-den not a-house that not neighbors we-be

ἀλλάλαις, ποτ' ἔριν, φθονερὸν κακόν, αἰὲν ὁμοῖος. 10
to-each-other for strife spiteful bane always the-same

ΓΟΡΓΩ μὴ λέγε τὸν τεὸν ἄνδρα φίλα Δίκωνα τοιαῦτα,
not speak the your husband dear Dicon such-things

τῶ μικκῶ παρεόντος· ὅρη γύναι, ὡς ποθορῇ τυ.
the little-one being-present see woman how he-looks-at you

θάρσει Ζωπυρίων, γλυκερὸν τέκος· οὐ λέγει ἀπφῦν.
take-heart Zopyrion sweet child not she-means daddy

ΠΡΑΞΙΝΟΑ αἰσθάνεται τὸ βρέφος, ναὶ τὰν πότνιαν.
understands the babe yes-by the lady

ΓΟΡΓΩ καλὸς ἀπφῦς.
fine daddy

ΠΡΑΞΙΝΟΑ ἀπφῦς μὰν τῆνος τὰ πρόαν (λέγομες δὲ πρόαν θην 15
daddy indeed that-one the the-other-day we-say and the-other-day surely

πάντα) νίτρον καὶ φῦκος ἀπὸ σκανᾶς ἀγοράσδων
all soda and rouge from the-booth buying

ἦνθε φέρων ἅλας ἄμμιν, ἀνὴρ τρισκαιδεκάπηχυς.
came bringing salt to-us the-man thirteen-cubit

ΓΟΡΓΩ χώμὸς ταὐτᾷ ἔχει, φθόρος ἀργυρίω, Διοκλείδας·
and-mine the-same has bane of-money Diocleidas
ἑπταδράχμως κυνάδας, γραιᾶν ἀποτίλματα πηρᾶν,
for-seven-drachmas dog's-skins of-old pluckings wallets
πέντε πόκως ἔλαβ' ἐχθές, ἅπαν ῥύπον, ἔργον ἐπ' ἔργῳ.
five fleeces he-took yesterday all filth work upon work
ἀλλ' ἴθι τὠμπέχονον καὶ τὰν περονατρίδα λάζευ.
but come the-cloak and the pinned-gown take
βᾶμες τῶ βασιλῆος ἐς ἀφνειῶ Πτολεμαίω
let-us-go of-the king to wealthy Ptolemy
θασόμεναι τὸν Ἄδωνιν· ἀκούω χρῆμα καλόν τι
to-see — Adonis I-hear a-thing fine something
κοσμεῖν τὰν βασίλισσαν. ΠΡΑΞΙΝΟΑ ἐν ὀλβίω ὄλβια πάντα.
to-adorn the queen in a-wealthy-house wealthy all
ΓΟΡΓΩ ὧν ἴδες, ὧν εἶπες καὶ ἰδοῖσα τὺ τῷ μὴ ἰδόντι.
of-what you-saw of-what you-told and having-seen you to-him not having-seen
ἔρπειν ὥρα κ' εἴη. ΠΡΑΞΙΝΟΑ ἀεργοῖς αἰὲν ἑορτά.
to-go time — it-would-be for-idlers always holiday
Εὐνόα, αἶρε τὸ νῆμα καὶ ἐς μέσον αἰνόθρυπτε
Eunoa pick-up the yarn and into the-middle you-lazybones
θὲς πάλιν. αἱ γαλέαι μαλακῶς χρήζοντι καθεύδειν·
set-it again the cats softly like to-sleep
κινεῦ δή, φέρε θᾶσσον ὕδωρ. ὕδατος πρότερον δεῖ.
stir-yourself indeed bring quicker water of-water first there-is-need
ἁ δὲ σμᾶμα φέρει. δὸς ὅμως. μὴ δὴ πολὺ ἄπληστε.
she and soap brings give anyway not indeed much greedy
ἔγχει ὕδωρ. δύστανε, τί μευ τὸ χιτώνιον ἄρδεις;
pour water wretch why my the tunic do-you-wet
παῦε. ὁκοῖα θεοῖς ἐδόκει, τοιαῦτα νένιμμαι.
stop as to-the-gods it-seemed so I-am-washed

ἁ κλὰξ τᾶς μεγάλας πᾷ λάρνακος; ὧδε φέρ᾽ αὐτάν.
the key of-the great where chest here bring it

ΓΟΡΓΩ Πραξινόα, μάλα τοι τὸ καταπτυχὲς ἐμπερόναμα
Praxinoa much to-you the full-folded pinned-robe

τοῦτο πρέπει· λέγε μοι, πόσσω κατέβα τοι ἀφ᾽ ἱστῶ;
this suits tell me for-how-much came to-you from the-loom

ΠΡΑΞΙΝΟΑ μὴ μνάσῃς Γοργοῖ· πλέον ἀργυρίω καθαρῶ μνᾶν
not remind Gorgo more of-silver pure minas

ἢ δύο· τοῖς δ᾽ ἔργοις καὶ τὰν ψυχὰν ποτέθηκα.
than two to-the and work even the soul I-put-in

ΓΟΡΓΩ ἀλλὰ κατὰ γνώμαν ἀπέβα τοι. ΠΡΑΞΙΝΟΑ τοῦτο κάλ᾽ εἶπες.
but to your-mind it-turned-out for-you this well you-said

τὠμπέχονον φέρε μοι καὶ τὰν θολίαν κατὰ κόσμον
the-cloak bring me and the sunhat in order

ἀμφίθες. οὐκ ἀξῶ τυ τέκνον. μορμώ, δάκνει ἵππος.
put-on not I-will-take you child bogey bites horse

δάκρυ᾽, ὅσσα θέλεις, χωλὸν δ᾽ οὐ δεῖ τυ γενέσθαι.
cry as-much-as you-wish lame but not one-must you to-become

ἔρπωμες. Φρυγία, τὸν μικκὸν παῖσδε λαβοῖσα,
let-us-go Phrygia the little-one play-with taking(-him)

τὰν κύν᾽ ἔσω κάλεσον, τὰν αὐλείαν ἀπόκλᾳξον. —
the dog in call the street-door shut

ὦ θεοί, ὅσσος ὄχλος. πῶς καὶ πόκα τοῦτο περᾶσαι
O gods how-great a-crowd how and when this to-get-through

χρὴ τὸ κακόν; μύρμακες ἀνάριθμοι καὶ ἄμετροι.
one-must the trouble ants countless and measureless

πολλά τοι ὦ Πτολεμαῖε πεποίηται καλὰ ἔργα,
many to-you O Ptolemy have-been-done fine deeds

ἐξ ὧ ἐν ἀθανάτοις ὁ τεκών· οὐδεὶς κακοεργὸς
from when among immortals the father no malefactor

δαλεῖται τὸν ἰόντα παρέρπων Αἰγυπτιστί,
harms the passer creeping-up in-the-Egyptian-way
οἷα πρὶν ἐξ ἀπάτας κεκροτημένοι ἄνδρες ἔπαισδον,
such-as before from fraud wrought-together men played
ἀλλάλοις ὁμαλοί, κακὰ παίγνια, πάντες ἐρειοί.
to-each-other alike evil games all accursed
ἀδίστα Γοργοῖ, τί γενοίμεθα; τοὶ πολεμισταὶ
sweetest Gorgo what would-we-become the warrior
ἵπποι τῶ βασιλῆος. ἄνερ φίλε, μή με πατήσῃς.
horses of-the king man dear not me trample
ὀρθὸς ἀνέστα ὁ πυρρός· ἴδ' ὡς ἄγριος. κυνοθαρσὴς
upright reared the chestnut see how wild dog-bold
Εὐνόα, οὐ φευξῇ; διαχρησεῖται τὸν ἄγοντα.
Eunoa not will-you-flee he-will-kill the leader
ὠνάθην μεγάλως, ὅτι μοι τὸ βρέφος μένει ἔνδον.
I-benefited greatly that for-me the babe stays inside
ΓΟΡΓΩ θάρσει Πραξινόα· καὶ δὴ γεγενήμεθ' ὄπισθεν,
take-heart Praxinoa and indeed we-have-got behind
τοὶ δ' ἔβαν ἐς χώραν. ΠΡΑΞΙΝΟΑ καὐτὰ συναγείρομαι ἤδη.
they and went to their-place and-I-too gather-myself now
ἵππον καὶ τὸν ψυχρὸν ὄφιν τὰ μάλιστα δεδοίκω
a-horse and the cold snake the most I-fear
ἐκ παιδός. σπεύδωμες· ὄχλος πολὺς ἄμμιν ἐπιρρεῖ.
from a-child let-us-hasten crowd great on-us flows
ΓΟΡΓΩ ἐξ αὐλᾶς ὦ μᾶτερ; ΓΡΑΤΣ ἐγὼν ὦ τέκνα. ΓΟΡΓΩ παρενθεῖν
from the-palace O mother I O children to-get-in
εὐμαρές; ΓΡΑΤΣ ἐς Τροίαν πειρώμενοι ἦνθον Ἀχαιοί,
easy to Troy by-trying came the-Achaeans
καλλίστα παίδων· πείρᾳ θην πάντα τελεῖται.
fairest of-children by-trial surely all is-accomplished

ΓΟΡΓΩ χρησμὼς ἁ πρεσβῦτις ἀπῴχετο θεσπίξασα.
oracles the old-woman went-off having-prophesied

ΠΡΑΞΙΝΟΑ πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἠγάγεθ' Ἥρην.
all women know even how Zeus married Hera

ΓΟΡΓΩ θᾶσαι Πραξινόα, περὶ τὰς θύρας ὅσσος ὅμιλος.
look Praxinoa about the doors how-great a-throng

ΠΡΑΞΙΝΟΑ θεσπέσιος. Γοργοῖ, δὸς τὰν χέρα μοι· λάβε καὶ τὺ
wondrous Gorgo give the hand to-me take also you

Εὐνόα Εὐτυχίδος· πότεχ' αὐτᾷ, μή τι πλαναθῇς.
Eunoa of-Eutychis hold-on to-her lest at-all you-stray

πᾶσαι ἄμ' εἰσένθωμες· ἀπρὶξ ἔχευ Εὐνόα ἀμῶν.
all together let-us-go-in tightly hold Eunoa us

οἴμοι δειλαία, δίχα μευ τὸ θερίστριον ἤδη
alas wretched in-two my the summer-cloak already

ἔσχισται Γοργοῖ. πὸτ τῶ Διός, εἴτι γένοιο
is-torn Gorgo by — Zeus if-ever you-would-be

εὐδαίμων ὤνθρωπε, φυλάσσεο τὠμπέχονόν μευ.
happy O-man take-care-of the-cloak my

ΞΕΝΟΣ οὐκ ἐπ' ἐμὶν μέν, ὅμως δὲ φυλαξεῦμαι· ΠΡΑΞΙΝΟΑ ὄχλος ἄθρως.
not on me indeed but-yet and I-will-take-care crowd dense

ὠθεῦνθ' ὥσπερ ὗες. ΞΕΝΟΣ θάρσει γύναι· ἐν καλῷ εἰμές.
they-push like swine take-heart woman in good-state we-are

ΠΡΑΞΙΝΟΑ κεἰς ὥρας κἤπειτα φίλ' ἀνδρῶν ἐν καλῷ εἴης
and-to seasons and-afterward dear of-men in good-state may-you-be

ἄμμε περιστέλλων. χρηστῶ κὠκτίρμονος ἀνδρός.
us protecting of-a-good and-compassionate man

φλίβεται Εὐνόα ἆμιν· ἄγ' ὦ δειλὰ τὺ βιάζευ.
is-crushed Eunoa for-us come O wretch you force

κάλλιστ'· ἔνδοι πᾶσαι, ὁ τὰν νυὸν εἶπ' ἀποκλάξας.
all-fine inside all he-who the bride said having-shut-in

ΓΟΡΓΩ Πραξινόα, πόταγ' ὦδε. τὰ ποικίλα πρᾶτον ἄθρησον,
Praxinoa come here the embroideries first look-at
λεπτὰ καὶ ὡς χαρίεντα· θεῶν περονάματα φασεῖς.
fine and how graceful of-gods robes you-will-say
ΠΡΑΞΙΝΟΑ πότνι' Ἀθαναία, ποῖαί σφ' ἐπόνασαν ἔριθοι,
lady Athena what them toiled-at weavers
ποῖοι ζωογράφοι τἀκριβέα γράμματ' ἔγραψαν.
what painters the-precise figures drew
ὡς ἔτυμ' ἑστάκαντι, καὶ ὡς ἔτυμ' ἐνδινεῦντι,
how truly they-stand and how truly they-turn
ἔμψυχ', οὐκ ἐννφαντά. σοφόν τοι χρῆμ' ὤνθρωπος.
alive not woven clever you-know thing man
αὐτὸς δ' ὡς θαητὸς ἐπ' ἀργυρέας κατάκειται
himself and how marvelous on silver lies
κλισμῶ, πρᾶτον ἴουλον ἀπὸ κροτάφων καταβάλλων,
couch first down from the-temples letting-fall
ὁ τριφίλητος Ἄδωνις, ὃ κἠν Ἀχέροντι φιλεῖται.
the thrice-beloved Adonis who even-in Acheron is-loved
ΕΤΕΡΟΣ ΞΕΝΟΣ παύσασθ' ὦ δύστανοι, ἀνάνυτα κωτίλλοισαι
stop O wretched endlessly chattering
τρυγόνες. ἐκκναισεῦντι πλατειάσδοισαι ἅπαντα.
turtle-doves they-will-wear-out broad-drawling all
ΓΟΡΓΩ μᾶ, πόθεν ὤνθρωπος; τί δὲ τίν, εἰ κωτίλαι εἰμές;
mother whence the-man what and to-you if chatterers we-are
πασάμενος ἐπίτασσε. Συρακοσίαις ἐπιτάσσεις;
having-bought order Syracusans do-you-order
ὡς δ' εἰδῇς καὶ τοῦτο· Κορίνθιαι εἰμὲς ἄνωθεν,
that and you-may-know also this Corinthians we-are by-descent
ὡς καὶ ὁ Βελλεροφῶν· Πελοποννασιστὶ λαλεῦμες·
like also — Bellerophon Peloponnesian we-talk

δωρίσδεν δ᾽ ἔξεστι δοκῶ τοῖς Δωριέεσσι.
to-speak-Doric and is-allowed I-think for-the Dorians

ΠΡΑΞΙΝΟΑ μὴ φύη Μελιτῶδες ὃς ἁμῶν καρτερὸς εἴη,
may-not be-born Persephone who us master would-be

πλὰν ἑνός. οὐκ ἀλέγω. μή μοι κενεὰν ἀπομάξῃς.
except one not I-care lest for-me empty you-measure

ΓΟΡΓΩ σιγᾷ Πραξινόα· μέλλει τὸν Ἄδωνιν ἀείδειν
hush Praxinoa she-is-about — Adonis to-sing

ἁ τᾶς Ἀργείας θυγάτηρ πολύιδρις ἀοιδός,
the of-the Argive daughter much-skilled singer

ἅτις καὶ πέρυσιν τὸν ἰάλεμον ἀρίστευσε.
who also last-year the dirge won-the-prize

φθεγξεῖταί τι σάφ᾽ οἶδα καλόν· διαθρύπτεται ἤδη.
she-will-utter something well I-know fine she-is-preening already

ΓΥΝΗ ΑΟΙΔΟΣ δέσποιν᾽, ἃ Γολγώς τε καὶ Ἰδάλιον ἐφίλασας
lady who Golgi both and Idalium loved

αἰπεινάν τ᾽ Ἐρύκαν, χρυσῷ παίζοισ᾽ Ἀφροδίτα·
steep and Eryx in-gold playing Aphrodite

οἷόν τοι τὸν Ἄδωνιν ἀπ᾽ ἀενάω Ἀχέροντος
how to-you — Adonis from ever-flowing Acheron

μηνὶ δυωδεκάτῳ μαλακαὶ πόδας ἄγαγον Ὧραι.
in-month twelfth soft feet brought the-Hours

βάρδισται μακάρων Ὧραι φίλαι, ἀλλὰ ποθειναὶ
slowest of-the-blessed Hours dear but longed-for

ἔρχονται πάντεσσι βροτοῖς αἰεί τι φορεῦσαι.
come to-all mortals always something bringing

Κύπρι Διωναία, τὺ μὲν ἀθανάταν ἀπὸ θνατᾶς,
Cypris of-Dione you indeed immortal from mortal

ἀνθρώπων ὡς μῦθος, ἐποίησας Βερενίκαν,
of-men as the-tale you-made Berenice

ἀμβροσίαν ἐς στῆθος ἀποστάξασα γυναικός·
ambrosia into breast distilling of-the-woman
τὶν δὲ χαριζομένα, πολυώνυμε καὶ πολύναε,
to-you and gracing many-named and many-templed
ἁ Βερενικείᾱ θυγάτηρ Ἑλένᾳ εἰκυῖα
the of-Berenice daughter to-Helen like
Ἀρσινόα πάντεσσι καλοῖς ἀτιτάλλει Ἄδωνιν.
Arsinoe with-all fine-things cherishes Adonis
πὰρ μέν οἱ ὥρια κεῖται, ὅσα δρυὸς ἄκρα φέρονται,
beside indeed him ripe-fruits lie as-many-as of-tree the-tops bear
πὰρ δ' ἁπαλοὶ κᾶποι πεφυλαγμένοι ἐν ταλαρίσκοις
beside and tender gardens kept in little-baskets
ἀργυρέοις, Συρίῳ δὲ μύρῳ χρύσει' ἀλάβαστρα.
silver of-Syrian and unguent golden alabaster-flasks
εἴδατα δ' ὅσσα γυναῖκες ἐπὶ πλαθάνῳ πονέονται,
cakes and as-many-as women on the-kneading-board work
ἄνθεα μίσγοισαι λευκῷ παντοῖα μαλεύρῳ,
flowers mingling with-white all-kinds wheat-flour
ὅσσά τ' ἀπὸ γλυκερῶ μέλιτος τά τ' ἐν ὑγρῷ ἐλαίῳ,
as-many-as and from sweet honey those and in moist oil
πάντ' αὐτῷ πετεηνὰ καὶ ἑρπετὰ τεῖδε πάρεστι.
all for-him winged and creeping-things here are-present
χλωραὶ δὲ σκιάδες μαλακῷ βρίθοντι ἀνήθῳ
green and bowers with-soft laden dill
δέδμανθ'· οἱ δέ τε κῶροι ὑπερπωτῶνται Ἔρωτες,
are-built the and — boys fly-over Loves
οἷοι ἀηδονιδῆες ἀεξομενᾶν ἐπὶ δένδρων
such-as young-nightingales growing on trees
πωτῶνται πτερύγων πειρώμενοι ὄζον ἀπ' ὄζω.
fly wings trying bough from bough

ὦ ἔβενος, ὦ χρυσός, ὦ ἐκ λευκῶ ἐλέφαντος
O ebony O gold O from white ivory
αἰετοὶ οἰνοχόον Κρονίδᾳ Διὶ παῖδα φέροντες.
eagles cupbearer to-son-of-Cronus Zeus a-boy bearing
πορφύρεοι δὲ τάπητες ἄνω μαλακώτεροι ὕπνω,
purple and coverlets above softer than-sleep
ἁ Μίλατος ἐρεῖ χὠ τὰν Σαμίαν κάτα βόσκων·
— Miletus will-say and-he-who the Samian land pasturing
"ἔστρωται κλίνα τῷ Ἀδώνιδι τῷ καλῷ ἄλλα."
is-spread couch for Adonis for-the fair another
τὰν μὲν Κύπρις ἔχει, τὰν δ' ὁ ῥοδόπαχυς Ἄδωνις
the-one indeed Cypris has the-other and the rosy-armed Adonis
ὀκτωκαιδεκέτης ἢ ἐννεακαίδεχ' ὁ γαμβρός.
eighteen-year-old or nineteen the bridegroom
οὐ κεντεῖ τὸ φίλαμ', ἔτι οἱ περὶ χείλεα πυρρά.
not pricks the kiss still his about lips golden-down
νῦν μὰν Κύπρις ἔχοισα τὸν αὐτᾶς χαιρέτω ἄνδρα·
now indeed Cypris having the her-own let-her-rejoice-in husband
ἀῶθεν δ' ἁμές νιν ἅμα δρόσῳ ἀθρόαι ἔξω
at-dawn and we him with dew all-together out
οἰσεῦμες ποτὶ κύματ' ἐπ' ἀιόνι πτύοντα,
will-carry to waves on the-beach spitting
λύσασαι δὲ κόμαν καὶ ἐπὶ σφυρὰ κόλπον ἀνεῖσαι
loosing and hair and to ankles bosom letting-down
στήθεσι φαινομένοις λιγυρᾶς ἀρξώμεθ' ἀοιδᾶς·
with-breasts showing clear let-us-begin song
Ἔρπεις ὦ φίλ' Ἄδωνι καὶ ἐνθάδε κεἰς Ἀχέροντα
You-go O dear Adonis both here and-to Acheron
ἡμιθέων, ὡς φαντί, μονώτατος. οὔτ' Ἀγαμέμνων
of-demigods as they-say alone neither Agamemnon

τοῦτ᾽ ἔπαθ᾽, οὔτ᾽ Αἴας ὁ μέγας βαρυμάνιος ἥρως,
this suffered nor Ajax the great heavy-wrathed hero
οὔθ᾽ Ἕκτωρ Ἑκάβας ὁ γεραίτερος εἴκατι παίδων,
nor Hector of-Hecuba the eldest of-twenty children
οὐ Πατροκλῆς, οὐ Πύρρος ἀπὸ Τροίας ἐπανελθών,
not Patroclus not Pyrrhus from Troy coming-back
οὔθ᾽ οἵ ἔτι πρότερον Λαπίθαι καὶ Δευκαλίωνες,
nor the still earlier Lapiths and Deucalions
οὐ Πελοπιάδαι τε καὶ Ἄργεος ἄκρα Πελασγοί·
nor Pelopids both and of-Argos the-height Pelasgians
ἵλαθι νῦν φίλ᾽ Ἄδωνι, καὶ ἐς νέωτ᾽ εὐθυμήσαις.
be-gracious now dear Adonis and to next-year be-of-good-cheer
καὶ νῦν ἦνθες Ἄδωνι, καὶ ὅκκ᾽ ἀφίκῃ, φίλος ἦξεῖς.
both now you-came Adonis and when you-arrive dear you-will-come
ΓΟΡΓΩ Πραξινόα, τὸ χρῆμα σοφώτερον ἁ θήλεια.
Praxinoa the thing cleverer the woman
ὀλβία ὅσσα ἴσατι, πανολβία ὡς γλυκὺ φωνεῖ.
blessed how-much she-knows thrice-blessed how sweetly she-sings
ὥρα ὅμως κεἰς οἶκον. ἀνάριστος Διοκλείδας.
time anyway also-to home without-lunch Diocleidas
χὠνὴρ ὄξος ἅπαν, πεινᾶντι δὲ μηδὲ ποτένθῃς.
and-the-man vinegar all hungry and not-even approach
χαῖρε Ἄδων ἀγαπητέ· καὶ ἐς χαίροντας ἀφίκευ.
farewell Adonis beloved and to rejoicing come

Χάριτες ἢ Ἱέρων

XVI · THE GRACES, OR HIERO

The poet complains that patrons now love gain and send his Graces home unpaid. Song alone gives lasting fame, as the Thessalian lords, Odysseus, and the heroes of Troy owe theirs to poets. He prays that Hiero of Syracuse will drive the Carthaginians from Sicily and bring peace to its fields, and offers his Muse to whoever will invite her.

Αἰεὶ τοῦτο Διὸς κούραις μέλει, αἰὲν ἀοιδοῖς,
Always this of-Zeus to-the-daughters is-a-care always to-singers
ὑμνεῖν ἀθανάτους, ὑμνεῖν ἀγαθῶν κλέα ἀνδρῶν.
to-hymn immortals to-hymn of-good glories men
Μοῦσαι μὲν θεαὶ ἐντί, θεοὺς θεαὶ ἀείδοντι·
Muses indeed goddesses are gods goddesses sing
ἄμμες δὲ βροτοὶ οἵδε, βροτοὺς βροτοὶ ἀείδωμεν.
we and mortals these mortals mortals let-us-sing
τίς γὰρ τῶν ὁπόσοι γλαυκὰν ναίουσιν ὑπ' ἀῶ
who for of-those as-many-as gray dwell under dawn
ἡμετέρας Χάριτας πετάσας ὑποδέξεται οἴκῳ
our Graces opening will-receive in-house
ἀσπασίως, οὐδ' αὖθις ἀδωρήτους ἀποπέμψει;
gladly nor again giftless will-send-away
αἱ δὲ σκυζόμεναι γυμνοῖς ποσὶν οἴκαδ' ἴασι,
they and sulking with-bare feet home go
πολλά με τωθάζοισαι, ὅ τ' ἀλιθίαν ὁδὸν ἦνθον,
much me mocking that — vain journey they-went
ὀκνηραὶ δὲ πάλιν κενεᾶς ἐν πυθμένι χηλοῦ
reluctant and again of-empty in the-bottom chest
ψυχροῖς ἐν γονάτεσσι κάρη μίμνοντι βαλοῖσαι,
cold on knees head stay having-laid

ἔνθ᾽ αἰεί σφισιν ἕδρα, ἐπὴν ἄπρηκτοι ἵκωνται.
there always for-them the-seat when unsuccessful they-come
τίς τῶν νῦν τοιόσδε; τίς εὖ εἰπόντα φιλήσει;
who of-those now such who well speaking will-love
οὐκ οἶδ᾽· οὐ γὰρ ἔτ᾽ ἄνδρες ἐπ᾽ ἔργμασιν ὡς πάρος ἐσθλοῖς
not I-know not for still men for deeds as before noble
αἰνεῖσθαι σπεύδοντι, νενίκηνται δ᾽ ὑπὸ κερδέων.
to-be-praised hasten they-are-conquered and by gains
πᾶς δ᾽ ὑπὸ κόλπῳ χεῖρας ἔχων πόθεν οἴσεται ἀθρεῖ
each and under fold hands having whence he-will-get looks
ἄργυρον, οὐδέ κεν ἰὸν ἀποτρίψας τινὶ δοίη,
silver nor — rust having-rubbed-off to-anyone would-give
ἀλλ᾽ εὐθὺς μυθεῖται· "ἀπωτέρω ἢ γόνυ κνάμα·
but straightway he-says farther than knee the-shin
αὐτῷ μοί τι γένοιτο· θεοὶ τιμῶσιν ἀοιδούς.
myself to-me something may-be gods honor singers
τίς δέ κεν ἄλλου ἀκούσαι; ἅλις πάντεσσιν Ὅμηρος.
who and — another would-hear enough for-all Homer
οὗτος ἀοιδῶν λῷστος, ὃς ἐξ ἐμεῦ οἴσεται οὐδέν."
this-one of-singers best who from me will-get nothing
Δαιμόνιοι, τί δὲ κέρδος ὁ μυρίος ἔνδοθι χρυσὸς
Foolish what and profit the countless within gold
κείμενος; οὐχ ἅδε πλούτου φρονέουσιν ὄνασις,
lying not this of-wealth for-the-wise the-enjoyment
ἀλλὰ τὸ μὲν ψυχᾷ, τὸ δὲ καί τινι δοῦναι ἀοιδῶν·
but the indeed to-the-soul the and also to-some to-give of-singers
πολλοὺς δ᾽ εὖ ἔρξαι παῶν, πολλοὺς δὲ καὶ ἄλλων
many and well to-do of-kinsmen many and also of-other
ἀνθρώπων, αἰεὶ δὲ θεοῖς ἐπιβώμια ῥέζειν,
men always and to-gods offerings to-make

μηδὲ ξεινοδόκον κακὸν ἔμμεναι, ἀλλὰ τραπέζῃ
nor host bad to-be but at-table
μειλίξαντ' ἀποπέμψαι, ἐπὴν ἐθέλωντι νέεσθαι,
having-cheered to-send-away when they-wish to-go
Μουσάων δὲ μάλιστα τίειν ἱεροὺς ὑποφήτας,
of-the-Muses and most to-honor sacred interpreters
ὄφρα καὶ εἰν Ἀΐδαο κεκρυμμένος ἐσθλὸς ἀκούσῃς,
that even in of-Hades hidden good you-may-hear
μηδ' ἀκλεὴς μύρηαι ἐπὶ ψυχροῦ Ἀχέροντος,
nor inglorious may-you-wail by cold Acheron
ὡσεί τις μακέλᾳ τετυλωμένος ἔνδοθι χεῖρας
as some with-mattock callused inside hands
ἀχὴν ἐκ πατέρων πενίην ἀκτήμονα κλαίων.
a-poor-man from fathers poverty possessionless bewailing
πολλοὶ ἐν Ἀντιόχοιο δόμοις καὶ ἄνακτος Ἀλεύα
many in of-Antiochus halls and of-lord Aleuas
ἁρμαλιὴν ἔμμηνον ἐμετρήσαντο πενέσται·
ration monthly measured serfs
πολλοὶ δὲ Σκοπάδῃσιν ἐλαυνόμενοι ποτὶ σακοὺς
many and for-the-Scopadae driven to pens
μόσχοι σὺν κεραῇσιν ἐμυκήσαντο βόεσσι,
calves with horned lowed cows
μυρία δ' ἀμπεδίον Κραννώνιον ἐνδιάασκον
countless and over-the-plain Crannonian kept-at-pasture
ποιμένες ἔκκριτα μῆλα φιλοξείνοισι Κρεώνδαις·
shepherds choice flocks for-the-hospitable Creondae
ἀλλ' οὔ σφιν τῶν ἦδος, ἐπεὶ γλυκὺν ἐξεκένωσαν
but not to-them of-these pleasure since sweet they-emptied
θυμὸν ἐς εὐρεῖαν σχεδίαν στυγνοῦ Ἀχέροντος,
spirit into broad raft of-hateful Acheron

ἄμναστοι δὲ τὰ πολλὰ καὶ ὄλβια τῆνα λιπόντες
unremembered and the many and blessed those leaving
δειλοῖς ἐν νεκύεσσι μακροὺς αἰῶνας ἔκειντο,
wretched among dead long ages lay
εἰ μὴ κεῖνος ἀοιδὸς ὁ Κήιος αἰόλα φωνέων
if not that singer the Cean varied-things uttering
βάρβιτον ἐς πολύχορδον ἐν ἀνδράσι θῆκ' ὀνομαστοὺς
lyre to many-stringed among men made famous
ὁπλοτέροις, τιμᾶς δὲ καὶ ὠκέες ἔλλαχον ἵπποι,
to-the-younger honors and even swift won horses
οἵ σφισιν ἐξ ἱερῶν στεφανηφόροι ἦλθον ἀγώνων.
which for-them from sacred garland-bearing came contests
τίς δ' ἂν ἀριστῆας Λυκίων ποτέ, τίς κομόωντας
who and — chiefs of-the-Lycians ever who long-haired
Πριαμίδας ἢ θῆλυν ἀπὸ χροιᾶς Κύκνον ἔγνω,
sons-of-Priam or womanish from skin Cycnus knew
εἰ μὴ φυλόπιδας προτέρων ὕμνησαν ἀοιδοί;
if not battles of-the-earlier hymned singers
οὐδ' Ὀδυσεὺς ἑκατόν τε καὶ εἴκοσι μῆνας ἀλαθεὶς
nor Odysseus hundred both and twenty months having-wandered
πάντας ἐπ' ἀνθρώπους, Ἀΐδαν τ' εἰς ἔσχατον ἐλθὼν
all to men Hades and to farthest having-come
ζωός, καὶ σπήλυγγα φυγὼν ὀλοοῖο Κύκλωπος,
alive and the-cave having-fled of-deadly Cyclops
δηναιὸν κλέος ἔσχεν, ἐσιγάθη δ' ἂν ὑφορβὸς
lasting fame had would-have-been-silent and — swineherd
Εὔμαιος, καὶ βουσὶ Φιλοίτιος ἀμφ' ἀγελαίαις
Eumaeus and cows Philoetius around herded
ἔργον ἔχων, αὐτός τε περίσπλαγχνος Λαέρτης,
work having himself and great-hearted Laertes

εἰ μή σφεας ὤνασαν Ἰάονος ἀνδρὸς ἀοιδαί.
if not them had-helped of-Ionian man songs
Ἐκ Μοισᾶν ἀγαθὸν κλέος ἔρχεται ἀνθρώποισι,
From the-Muses good fame comes to-men
χρήματα δὲ ζώοντες ἀμαλδύνουσι θανόντων.
possessions and the-living squander of-the-dead
ἀλλ' ἶσος γὰρ ὁ μόχθος ἐπ' ᾠόνι κύματα μετρεῖν,
but equal for the toil on the-shore waves to-count
ὅσσ' ἄνεμος χέρσονδε μετὰ γλαυκᾶς ἁλὸς ὠθεῖ,
as-many-as wind landward from gray sea drives
ἢ ὕδατι νίζειν θολερὰν διαειδέι πλίνθον,
or with-water to-wash muddy with-clear brick
καὶ φιλοκερδείᾳ βεβλαμμένον ἄνδρα παρελθεῖν.
and by-love-of-gain injured man to-win-over
χαιρέτω ὃς τοιοῦτος, ἀνάριθμος δέ οἱ εἴη
farewell he-who such countless and to-him may-be
ἄργυρος, αἰεὶ δὲ πλεόνων ἔχοι ἵμερος αὐτόν.
silver always and for-more may-have desire him
αὐτὰρ ἐγὼ τιμήν τε καὶ ἀνθρώπων φιλότητα
but I honor both and of-men friendship
πολλῶν ἡμιόνων τε καὶ ἵππων πρόσθεν ἑλοίμαν.
many mules both and horses before would-choose
δίζημαι δ', ὅτινι θνατῶν κεχαρισμένος ἔνθω
I-seek and to-what of-mortals welcome I-may-come
σὺν Μοίσαις· χαλεπαὶ γὰρ ὁδοὶ τελέθουσιν ἀοιδοῖς
with the-Muses hard for roads are for-singers
κουράων ἀπάνευθε Διὸς μέγα βουλεύοντος.
daughters apart-from of-Zeus great counseling
οὔπω μῆνας ἄγων ἔκαμ' οὐρανὸς οὐδ' ἐνιαυτούς·
not-yet months bringing has-tired heaven nor years

πολλοὶ κινήσουσιν ἔτι τροχὸν ἅρματος ἵπποι·
many will-move still wheel of-chariot horses
ἔσσεται οὗτος ἀνήρ, ὃς ἐμεῦ κεχρήσετ' ἀοιδοῦ,
will-be this man who me will-need singer
ῥέξας ἢ Ἀχιλεὺς ὅσσον μέγας ἢ βαρὺς Αἴας
having-done either Achilles as great or heavy Ajax
ἐν πεδίῳ Σιμόεντος, ὅθι Φρυγὸς ἠρίον Ἴλου.
in plain of-Simois where of-Phrygian tomb Ilus
ἤδη νῦν Φοίνικες ὑπ' ἠελίῳ δύνοντι
already now Phoenicians under sun setting
οἰκεῦντες Λιβύας ἄκρον σφυρὸν ἐρρίγασιν.
dwelling of-Libya furthest ankle shudder
ἤδη βαστάζουσι Συρακόσιοι μέσα δοῦρα
already lift Syracusans middle spears
ἀχθόμενοι σακέεσσι βραχίονας ἰτεΐνοισιν·
burdened with-shields arms of-willow
ἐν δ' αὐτοῖς Ἱέρων προτέροις ἴσος ἡρώεσσι
among and them Hiero to-former equal heroes
ζώννυται, ἵππειαι δὲ κόρυν σκεπάουσιν ἔθειραι.
girds-himself horse-hair and helmet shade plumes
αἰ γὰρ Ζεῦ κύδιστε πάτερ καὶ πότνι' Ἀθάνα
if-only for Zeus most-glorious father and lady Athena
κούρη θ', ἣ σὺν ματρὶ πολυκλήρων Ἐφυραίων
maiden and who with mother of-wealthy Ephyraeans
εἴληχας μέγα ἄστυ παρ' ὕδασι Λυσιμελείας,
you-have-as-your-lot great city by waters of-Lysimeleia
ἐχθροὺς ἐκ νάσοιο κακὰ πέμψειεν ἀνάγκα
the-enemies from the-island evil may-send necessity
Σαρδόνιον κατὰ κῦμα, φίλων μόρον ἀγγέλλοντας
Sardinian along wave of-friends doom announcing

τέκνοις ἠδ' ἀλόχοισιν, ἀριθμητοὺς ἀπὸ πολλῶν·
to-children and wives few-to-count out-of many
ἄστεά τε προτέροισι πάλιν ναίοιτο πολίταις,
cities and by-the-former again may-be-inhabited citizens
δυσμενέων ὅσα χεῖρες ἐλωβήσαντο κατάκρας·
of-foes as-many-as hands outraged utterly
ἀγροὺς δ' ἐργάζοιντο τεθαλότας· αἱ δ' ἀνάριθμοι
fields and may-be-worked flourishing the and countless
μήλων χιλιάδες βοτάνᾳ διαπιανθεῖσαι
of-flocks thousands with-grass fattened
ἀμπεδίον βληχοῖντο, βόες δ' ἀγελαδὸν ἐς αὖλιν
over-the-plain may-bleat cows and in-herds to the-stall
ἐρχόμεναι σκνιφαῖον ἐπισπεύδοιεν ὁδίταν·
coming dusk-belated may-hasten wayfarer
νειοὶ δ' ἐκπονέοιντο ποτὶ σπόρον, ἀνίκα τέττιξ
fallows and may-be-worked for sowing when the-cicada
ποιμένας ἐνδίους πεφυλαγμένος ἔνδοθι δένδρων
shepherds at-noon watching inside trees
ἀχεῖ ἐν ἀκρεμόνεσσιν· ἀράχνια δ' εἰς ὅπλ' ἀράχναι
sounds in branches webs and over arms spiders
λεπτὰ διαστήσαιντο, βοᾶς δ' ἔτι μηδ' ὄνομ' εἴη.
thin may-spread of-war-cry and still not-even name may-be
ὑψηλὸν δ' Ἱέρωνι κλέος φορέοιεν ἀοιδοὶ
lofty and for-Hiero fame may-carry singers
καὶ πόντου Σκυθικοῖο πέραν καὶ ὅθι πλατὺ τεῖχος
both sea Scythian beyond and where broad wall
ἀσφάλτῳ δήσασα Σεμίραμις ἐμβασίλευεν.
with-asphalt binding Semiramis ruled
εἷς μὲν ἐγώ, πολλοὺς δὲ Διὸς φιλέοντι καὶ ἄλλους
one indeed I many and of-Zeus love also others

θυγατέρες, τοῖς πᾶσι μέλοι Σικελὰν Ἀρέθοισαν
daughters to-whom all may-it-be-a-care Sicilian Arethusa
ὑμνεῖν σὺν λαοῖσι καὶ αἰχμητὰν Ἱέρωνα.
to-hymn with peoples and spearman Hiero
ὦ Ἐτεόκλειοι θύγατρες θεαί, ὦ Μινύειον
O Eteoclean daughters goddesses O Minyan
Ὀρχομενὸν φιλέοισαι ἀπεχθόμενόν ποτε Θήβαις,
Orchomenus loving hated once by-Thebes
ἄκλητος μὲν ἔγωγε μένοιμί κεν, ἐς δὲ καλεύντων
uninvited indeed I would-stay — to and those-calling
θαρσήσας Μοίσαισι σὺν ἀμετέραισιν ἱκοίμαν.
taking-courage Muses with our I-would-come
καλλείψω δ' οὐδ' ὔμμε· τί γὰρ Χαρίτων ἀγαπητὸν
I-will-leave and not-even you what for the-Graces lovely
ἀνθρώποις ἀπάνευθεν; ἀεὶ Χαρίτεσσιν ἅμ' εἴην.
to-men apart-from always the-Graces with may-I-be

Ἐγκώμιον εἰς Πτολεμαῖον

XVII · ENCOMIUM OF PTOLEMY

Beginning from Zeus, the poet praises Ptolemy. His father, the son of Lagus, sits among the gods beside Alexander, and both descend from Heracles. Aphrodite took his mother Berenice into her temple, and he was born on Cos. The poet describes his vast realm of cities, Egypt's fertile soil, his armies, and his fleet. Ptolemy gives his wealth to gods, kings, cities, and poets, founds temples to his parents, and marries his sister. The poet ends by hailing him.

Ἐκ Διὸς ἀρχώμεσθα καὶ ἐς Δία λήγετε Μοῖσαι,
From Zeus let-us-begin and in Zeus cease Muses
ἀθανάτων τὸν ἄριστον ἐπὴν αὐδῶμεν ἀοιδαῖς·
of-immortals the best when we-celebrate in-songs
ἀνδρῶν δ' αὖ Πτολεμαῖος ἐνὶ πρώτοισι λεγέσθω
of-men and again Ptolemy among first let-him-be-named
καὶ πύματος καὶ μέσσος· ὁ γὰρ προφερέστατος ἄλλων.
and last and middle he for most-excellent of-others
ἥρωες, τοὶ πρόσθεν ἀφ' ἡμιθέων ἐγένοντο,
heroes who before from demigods were-born
ῥέξαντες καλὰ ἔργα σοφῶν ἐκύρησαν ἀοιδῶν·
having-done fine deeds of-skilled met singers
αὐτὰρ ἐγὼ Πτολεμαῖον ἐπιστάμενος καλὰ εἰπεῖν
but I Ptolemy knowing-how fair-things to-tell
ὑμνήσαιμ'· ὕμνοι δὲ καὶ ἀθανάτων γέρας αὐτῶν.
would-hymn hymns and even of-immortals the-prize themselves
Ἴδαν ἐς πολύδενδρον ἀνὴρ ὑλατόμος ἐλθὼν
Ida to many-wooded man woodcutter coming
παπταίνει, παρεόντος ἄδην, πόθεν ἄρξεται ἔργου.
looks-around being-at-hand in-plenty whence he-shall-begin work

τί πρῶτον καταλέξω; ἐπεὶ πάρα μυρία εἰπεῖν,
what first shall-I-recount since it-is-possible countless to-say
οἷσι θεοὶ τὸν ἄριστον ἐτίμησαν βασιλήων.
with-which the-gods the best honored of-kings
Ἐκ πατέρων οἷος μὲν ἔην τελέσαι μέγα ἔργον
From fathers what-kind indeed he-was to-accomplish great work
Λαγείδας Πτολεμαῖος, ὅτε φρεσὶν ἐγκατάθοιτο
son-of-Lagus Ptolemy when in-mind he-had-stored
βουλάν, ἂν οὐκ ἄλλος ἀνὴρ οἷός τε νοῆσαι.
a-plan which not another man able — to-conceive
τῆνον καὶ μακάρεσσι πατὴρ ὁμότιμον ἔθηκεν
him even with-the-blessed the-father of-equal-honor made
ἀθανάτοις, καί οἱ χρύσεος δόμος ἐν Διὸς οἴκῳ
immortals and to-him golden house in of-Zeus home
δέδμηται· παρὰ δ' αὐτὸν Ἀλέξανδρος φίλα εἰδὼς
is-built beside and him Alexander kindly disposed
ἑδριάει, Πέρσαισι βαρὺς θεὸς αἰολομίτρας.
sits to-the-Persians grievous god with-gleaming-headband
ἀντία δ' Ἡρακλῆος ἕδρα κενταυροφόνοιο
opposite and of-Heracles seat the-Centaur-slayer
ἵδρυται στερεοῖο τετυγμένα ἐξ ἀδάμαντος·
is-set solid wrought from adamant
ἔνθα σὺν ἄλλοισιν θαλίας ἔχει οὐρανίδαισι,
there with other feasting holds to-the-heavenly-ones
χαίρων υἱωνῶν περιώσιον υἱωνοῖσιν,
rejoicing of-sons'-sons exceedingly in-sons'-sons
ὅττί σφεων Κρονίδης μελέων ἐξείλετο γῆρας,
that of-them son-of-Cronus from-limbs removed old-age
ἀθάνατοι δὲ καλεῦνται ἑοὶ νέποδες γεγαῶτες.
immortal and are-called his descendants born

ἄμφω γὰρ πρόγονός σφιν ὁ καρτερὸς Ἡρακλείδας,
both for ancestor for-them the mighty son-of-Heracles
ἀμφότεροι δ' ἀριθμεῦνται ἐς ἔσχατον Ἡρακλῆα.
both and are-reckoned to uttermost Heracles
τῷ καὶ ἐπεὶ δαίτηθεν ἴοι κεκορημένος ἤδη
therefore also when from-the-feast he-goes sated already
νέκταρος εὐόδμοιο φίλας ἐς δῶμ' ἀλόχοιο,
of-nectar fragrant dear to house of-wife
τῷ μὲν τόξον ἔδωκεν ὑπωλένιόν τε φαρέτραν,
to-one indeed bow he-gave under-the-arm and quiver
τῷ δὲ σιδάρειον σκύταλον κεχαραγμένον ὄζοις.
to-the-other and iron club notched with-knots
οἱ δ' εἰς ἀμβρόσιον θάλαμον λευκοσφύρου Ἥβης
they and to ambrosial chamber of-white-ankled Hebe
ὅπλα καὶ αὐτὸν ἄγουσι γενειήταν Διὸς υἱόν.
weapons and himself lead bearded of-Zeus son
οἵα δ' ἐν πινυταῖσι περικλειτὰ Βερενίκα
such and among wise far-famed Berenice
ἔπρεπε θηλυτέραις, ὄφελος μέγα γειναμένοισι.
shone women a-boon great to-her-parents
τᾷ μὲν Κύπρον ἔχοισα Διώνας πότνια κούρα
to-her indeed Cyprus holding of-Dione lady daughter
κόλπον ἐς εὐώδη ῥαδινὰς ἐσεμάξατο χεῖρας.
bosom into fragrant slender pressed hands
τῷ οὔπω τινὰ φαντὶ ἀδεῖν τόσον ἀνδρὶ γυναικῶν,
therefore never any they-say to-please so-much husband of-women
ὅσσόν περ Πτολεμαῖος ἑὴν ἐφίλησεν ἄκοιτιν.
as-much-as indeed Ptolemy his-own loved wife
ἦ μὰν ἀντεφιλεῖτο πολὺ πλέον· ὧδέ κε παισὶ
truly indeed she-was-loved-back much more thus — to-children

θαρσήσας σφετέροισιν ἐπιτρέποι οἶκον ἅπαντα,
trusting his-own might-entrust house all
ὁππότε κεν φιλέων βαίνῃ λέχος ἐς φιλεούσης.
whenever — loving he-goes bed to of-a-loving-one
ἀστόργου δὲ γυναικὸς ἐπ᾽ ἀλλοτρίῳ νόος αἰεί,
of-unloving and wife on another's mind always
ῥηίδιοι δὲ γοναί, τέκνα δ᾽ οὐ ποτεοικότα πατρί.
easy and births children but not like father
κάλλει ἀριστεύουσα θεάων πότν᾽ Ἀφροδίτα,
in-beauty excelling of-goddesses lady Aphrodite
σοὶ τήνα μεμέλητο· σέθεν δ᾽ ἕνεκεν Βερενίκα
to-you she was-a-care your and for-the-sake Berenice
εὐειδὴς Ἀχέροντα πολύστονον οὐκ ἐπέρασεν,
fair-formed Acheron full-of-groans not crossed
ἀλλά μιν ἁρπάξασα, πάροιθ᾽ ἐπὶ νῆα κατελθεῖν
but her snatching before to ship to-go-down
κυανέαν καὶ στυγνὸν ἀεὶ πορθμῆα καμόντων,
dark and hateful always ferryman of-the-dead
ἐς ναὸν κατέθηκας, ἑᾶς δ᾽ ἀπεδάσσαο τιμᾶς.
in temple you-set your and you-gave-a-share honors
πᾶσιν δ᾽ ἤπιος ἥδε βροτοῖς μαλακοὺς μὲν ἔρωτας
to-all and kind she to-mortals gentle indeed loves
προσπνείει, κούφας δὲ διδοῖ ποθέοντι μερίμνας. —
breathes-on light and gives to-the-longing cares
Ἀργεία κυάνοφρυ, σὺ λαοφόνον Διομήδεα
Argive dark-browed you people-slaying Diomedes
μισγομένα Τυδῆι τέκες, Καλυδώνιον ἄνδρα,
lying-with Tydeus bore Calydonian man
ἀλλὰ Θέτις βαθύκολπος ἀκοντιστὰν Ἀχιλῆα
but Thetis deep-bosomed spearman Achilles

Αἰακίδᾳ Πηλῆι, σὲ δ' αἰχμητὰ Πτολεμαῖε
to-son-of-Aeacus Peleus you and spearman Ptolemy
αἰχμητᾷ Πτολεμαίῳ ἀρίζηλος Βερενίκα.
to-spearman Ptolemy glorious Berenice
καί σε Κόως ἀτίταλλε βρέφος νεογιλλὸν ἐόντα,
and you Cos nursed babe newborn being
δεξαμένα παρὰ ματρός, ὅτε πρώταν ἴδες ἀῶ.
having-received from mother when first you-saw dawn
ἔνθα γὰρ Εἰλείθυιαν ἐβώσατο λυσίζωνον
there for Eileithyia she-invoked girdle-loosing
Ἀντιγόνας θυγάτηρ βεβαρημένα ὠδίνεσσιν·
of-Antigone daughter weighed-down by-pangs
ἡ δέ οἱ εὐμενέοισα παρίστατο, κὰδ δ' ἄρα πάντων
she and to-her kindly stood-by down and then all
νωδυνίαν κατέχευε μελῶν· ὁ δὲ πατρὶ ἐοικὼς
painlessness poured of-limbs he and father like
παῖς ἀγαπητὸς ἔγεντο. Κόως δ' ὀλόλυξεν ἰδοῖσα,
child beloved was-born Cos and shrieked seeing
φᾶ δὲ καθαπτομένα βρέφεος χείρεσσι φίλῃσιν·
she-said and taking-hold the-babe with-hands dear
" Ὄλβιε κοῦρε γένοιο, τίοις δέ με τόσσον, ὅσον περ
Blessed boy may-you-be may-you-honor and me as-much as indeed
Δᾶλον ἐτίμησεν κυανάμπυκα Φοῖβος Ἀπόλλων·
Delos honored dark-crowned Phoebus Apollo
ἐν δὲ μιᾷ τιμᾷ Τρίοπον καταθεῖο κολώναν,
in and one honor Triopus may-you-set hill
ἶσον Δωριέεσσι νέμων γέρας ἐγγὺς ἐοῦσιν."
equal to-Dorians granting privilege near being
ἶσον καὶ Ῥήναιαν ἄναξ ἐφίλησεν Ἀπόλλων.
equally also Rhenaea lord loved Apollo

Ὣς ἄρα νᾶσος ἔειπεν· ὁ δ' ὑψόθεν ἔκλαγε φωνᾷ
So then the-island spoke the and from-above screamed with-voice
ἐς τρὶς ἀπὸ νεφέων μέγας αἰετὸς αἴσιος ὄρνις.
up-to thrice from clouds great eagle auspicious bird
Ζηνός που τόδε σᾶμα. Διὶ Κρονίωνι μέλοντι
of-Zeus perhaps this sign to-Zeus son-of-Cronus caring
αἰδοῖοι βασιλῆες· ὁ δ' ἔξοχος, ὅν κε φιλήσῃ
revered kings he and preeminent whom — he-loves
γεινόμενον τὰ πρῶτα· πολὺς δέ οἱ ὄλβος ὀπαδεῖ,
being-born the first much and to-him wealth attends
πολλᾶς δὲ κρατέει γαίας, πολλᾶς δὲ θαλάσσας.
much and he-rules land much and sea
μυρίαι ἄπειροί τε καὶ ἔθνεα μυρία φωτῶν
countless lands both and nations countless of-men
λήιον ἀλδήσκουσιν ὀφελλόμεναι Διὸς ὄμβρῳ·
crop make-grow increased of-Zeus by-rain
ἀλλ' οὔτις τόσα φύει, ὅσα χθαμαλὰ Αἴγυπτος,
but none so-much produces as low-lying Egypt
Νεῖλος ἀναβλύζων διερὰν ὅτε βώλακα θρύπτει.
the-Nile gushing-up the-wet when clod breaks
οὐδέ τις ἄστεα τόσσα βροτῶν ἔχει ἔργα δαέντων.
nor any cities so-many of-mortals has works skilled
τρεῖς μέν οἱ πολίων ἑκατοντάδες ἐνδέδμηνται,
three indeed to-him of-cities hundreds are-built
τρεῖς δ' ἄρα χιλιάδες τρισσαῖς ἐπὶ μυριάδεσσι,
three and then thousands three on ten-thousands
δοιαὶ δὲ τριάδες, μετὰ δέ σφισιν ἐννεάδες τρεῖς·
two and threes after and them nines three
τῶν πάντων Πτολεμαῖος ἀγήνωρ ἐμβασιλεύει.
of-these all Ptolemy valiant rules

καὶ μὴν Φοινίκας ἀποτέμνεται Ἀρραβίας τε
and indeed of-Phoenicia cuts-off-for-himself Arabia and
καὶ Συρίας Λιβύας τε κελαινῶν τ' Αἰθιοπήων.
and Syria Libya and dark and Ethiopians
Παμφύλοισί τε πᾶσι καὶ αἰχμηταῖς Κιλίκεσσι
Pamphylians and all and spearmen Cilicians
σαμαίνει, Λυκίοις τε φιλοπτολέμοισί τε Καρσί,
he-commands Lycians and war-loving and Carians
καὶ νάσοις Κυκλάδεσσιν, ἐπεί οἱ νᾶες ἄρισται
and islands Cyclades since his ships best
πόντον ἐπιπλώοντι, θάλασσα δὲ πᾶσα καὶ αἶα
the-sea sail-over sea and all and land
καὶ ποταμοὶ κελάδοντες ἀνάσσονται Πτολεμαίῳ.
and rivers roaring are-ruled-by Ptolemy
πολλοὶ δ' ἱππῆες, πολλοὶ δέ μιν ἀσπιδιῶται.
many and horsemen many and him shield-bearers
χαλκῷ μαρμαίροντι σεσαγμένοι ἀμφαγέρονται.
with-bronze gleaming laden gather-around
ὄλβῳ μὲν πάντάς κε καταβρίθοι βασιλῆας·
in-wealth indeed all — would-outweigh kings
τόσσον ἐπ' ἦμαρ ἕκαστον ἐς ἀφνεὸν ἔρχεται οἶκον
so-much on day each to wealthy comes house
πάντοθε. λαοὶ δ' ἔργα περιστέλλουσιν ἔκηλοι.
from-everywhere peoples and works tend undisturbed
οὐ γάρ τις δηίων πολυκήτεα Νεῖλον ὑπερβὰς
not for any of-foes monster-teeming Nile crossing
πεζὸς ἐν ἀλλοτρίαισι βοὰν ἐστάσατο κώμαις,
on-foot in strange war-cry raised villages
οὐδέ τις αἰγιαλόνδε θοᾶς ἐξάλατο ναὸς
nor any to-the-shore swift leapt-from ship

θωρηχθεὶς ἐπὶ βουσὶν ἀνάρσιος Αἰγυπτίῃσι·
armed against cattle hostile Egyptian

τοῖος ἀνὴρ πλατέεσσιν ἐνίδρυται πεδίοισι
such man in-broad is-established plains

ξανθοκόμας Πτολεμαῖος, ἐπιστάμενος δόρυ πάλλειν,
golden-haired Ptolemy knowing-how spear to-brandish

ᾧ ἐπὶ πάγχυ μέλει πατρώια πάντα φυλάσσειν
to-whom upon wholly it-is-a-care ancestral all to-keep

οἷ' ἀγαθῷ βασιλῆι, τὰ δὲ κτεατίζεται αὐτός.
as for-a-good king the and acquires himself

οὐ μὰν ἀχρεῖός γε δόμῳ ἐνὶ πίονι χρυσὸς
not indeed useless indeed house in rich gold

μυρμάκων ἅτε πλοῦτος ἀεὶ κέχυται μογεόντων·
of-ants like wealth always is-heaped toiling

ἀλλὰ πολὺν μὲν ἔχοντι θεῶν ἐρικυδέες οἶκοι,
but much indeed have of-gods glorious houses

αἰὲν ἀπαρχομένοιο σὺν ἄλλοισιν γεράεσσι,
always offering-first-fruits with other gifts

πολλὸν δ' ἰφθίμοισι δεδώρηται βασιλεῦσι,
much and to-mighty he-has-given kings

πολλὸν δὲ πτολίεσσι, πολὺν δ' ἀγαθοῖσιν ἑταίροις.
much and to-cities much and to-good comrades

οὐδὲ Διωνύσου τις ἀνὴρ ἱεροὺς κατ' ἀγῶνας
nor of-Dionysus any man sacred at contests

ἵκετ' ἐπιστάμενος λιγυρὰν ἀναμέλψαι ἀοιδάν,
came knowing-how clear to-raise song

ᾧ οὐ δωτίναν ἀντάξιον ὤπασε τέχνας.
to-whom not a-gift worthy he-gave of-art

Μουσάων δ' ὑποφῆται ἀείδοντι Πτολεμαῖον
of-the-Muses and interpreters sing Ptolemy

ἀντ᾽ εὐεργεσίας. τί δὲ κάλλιον ἀνδρί κεν εἴη
for benefaction what and fairer to-a-man — would-be
ὀλβίῳ ἢ κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἀρέσθαι;
wealthy than fame good among men to-win
τοῦτο καὶ Ἀτρείδαισι μένει· τὰ δὲ μυρία τῆνα,
this even for-the-sons-of-Atreus remains the and countless those
ὅσσα μέγαν Πριάμοιο δόμον κτεάτισσαν ἑλόντες,
which great of-Priam house acquired having-taken
ἀέρι πᾳ κέκρυπται, ὅθεν πάλιν οὐκέτι νόστος·
in-air somewhere is-hidden whence back no-longer return
μοῦνος δὲ προτέρων τε καὶ ὧν ἔτι θερμὰ κονία
alone and of-the-former both and whose still warm dust
στειβομένα καθύπερθε ποδῶν ἐκμάσσεται ἴχνη,
trodden from-above feet stamps tracks
ματρὶ φίλᾳ καὶ πατρὶ θυώδεας εἴσατο ναούς·
for-mother dear and father fragrant founded temples
ἐν δ᾽ αὐτοὺς χρυσῷ περικαλλέας ἠδ᾽ ἐλέφαντι
in and them with-gold very-fair and ivory
ἵδρυται πάντεσσιν ἐπιχθονίοισιν ἀρωγούς.
he-set for-all earthly-men helpers
πολλὰ δὲ πιανθέντα βοῶν ὄγε μηρία καίει
many and fattened of-oxen he thighs burns
μησὶ περιπλομένοισιν ἐρευθομένων ἐπὶ βωμῶν,
in-months revolving reddened on altars
αὐτός τ᾽ ἰφθίμα τ᾽ ἄλοχος, τῆς οὔτις ἀρείων
himself and mighty and wife than-whom no better
νυμφίον ἐν μεγάροισι γυνὰ περιβάλλετ᾽ ἀγοστῷ,
bridegroom in halls woman embraces with-arm
ἐκ θυμοῦ στέργοισα κασίγνητόν τε πόσιν τε.
from heart loving brother both husband and

ὧδε καὶ ἀθανάτων ἱερὸς γάμος ἐξετελέσθη,
so also of-immortals sacred marriage was-accomplished
οὓς τέκετο κρείουσα Ῥέα βασιλῆας Ὀλύμπου·
whom bore queen Rhea kings of-Olympus
ἓν δὲ λέχος στόρνυσιν ἰαύειν Ζηνὶ καὶ Ἥρῃ
one and bed spreads to-sleep for-Zeus and Hera
χεῖρας φοιβήσασα μύροις ἔτι παρθένος Ἶρις.
hands purifying with-perfumes still maiden Iris
χαῖρε ἄναξ Πτολεμαῖε· σέθεν δ' ἐγὼ ἶσα καὶ ἄλλων
hail lord Ptolemy of-you and I equally and of-other
μνάσομαι ἡμιθέων, δοκέω δ' ἔπος οὐκ ἀπόβλητον
will-make-mention demigods I-think and word not to-be-cast-away
φθέγξομαι ἐσσομένοις· ἀρετήν γε μὲν ἐκ Διὸς αἰτεῦ.
I-shall-utter to-those-to-come virtue indeed indeed from Zeus ask

Ἑλένης Ἐπιθάλαμιος

XVIII · EPITHALAMIUM OF HELEN

Twelve Spartan maidens sing before the bridal chamber of Menelaus and Helen. They tease the groom for sleeping early, praise his fortune in winning the daughter of Zeus, and extol Helen's beauty and skill above all their company. They vow to garland a plane tree and carve her name on it. They pray to Leto, Cypris, and Zeus for the couple and promise to return at dawn.

Ἦν ποκ' ἄρα Σπάρτᾳ ξανθότριχι πὰρ Μενελάῳ
In once then Sparta golden-haired at Menelaus
παρθενικαὶ θάλλοντα κόμαις ὑάκινθον ἔχοισαι
maidens blooming in-hair hyacinth having
πρόσθε νεογράπτω θαλάμω χορὸν ἐστάσαντο,
before the-newly-painted chamber dance set-up

δώδεκα ταὶ πρᾶται πόλιος, μέγα χρῆμα Λακαινᾶν,
twelve the first of-the-city great thing of-Laconian-women
ἀνίκα Τυνδαριδᾶν κατεδέξατο τὰν ἀγαπητὰν
when of-the-Tyndarids had-taken the beloved
μναστεύσας Ἑλέναν ὁ νεώτερος Ἀτρέος υἱός.
having-wooed Helen the younger of-Atreus son
ἄειδον δ' ἄρα πᾶσαι ἐς ἓν μέλος ἐγκροτέοισαι
sang and then all to one tune beating-time
ποσσὶ περιπλέκτοις, ὑπὸ δ' ἴαχε δῶμ' ὑμεναίῳ.
with-feet interweaving under and rang the-house with-the-bridal-song
Οὕτω δὴ πρωιζὲ κατέδραθες ὦ φίλε γαμβρέ;
So indeed early have-you-fallen-asleep O dear bridegroom
ἦ ῥά τις ἐσσὶ λίαν βαρυγούνατος; ἦ ῥα φίλυπνος;
truly then one you-are very heavy-kneed truly then sleepy
ἦ ῥα πολύν τιν' ἔπινες, ὅτ' εἰς εὐνὰν κατεβάλλευ;
truly then much some you-drank when to bed you-threw-yourself
εὕδειν μὰν σπεύδοντα καθ' ὥραν αὐτὸν ἐχρῆν τυ,
to-sleep indeed hastening in season alone you-ought you
παῖδα δ' ἐᾶν σὺν παισὶ φιλοστόργῳ παρὰ ματρὶ
the-girl and to-let with girls loving by mother
παίσδειν ἐς βαθὺν ὄρθρον, ἐπεὶ καὶ ἔνας καὶ ἐς ἀῶ
to-play to deep dawn since both day-after-tomorrow and to dawn
κεἰς ἔτος ἐξ ἔτεος Μενέλαε τεὰ νυὸς ἅδε.
and-to year from year Menelaus your bride this
ὄλβιε γάμβρ', ἀγαθός τις ἐπέπταρεν ἐρχομένῳ τοι
blessed bridegroom good someone sneezed coming to-you
ἐς Σπάρταν, ἅπερ ὤλλοι ἀριστέες, ὡς ἀνύσαιο.
to Sparta whither the-other chiefs that you-might-succeed
μοῦνος ἐν ἡμιθέοις Κρονίδαν Δία πενθερὸν ἕξεῖς.
alone among demigods son-of-Cronus Zeus father-in-law you-will-have

Ζανός τοι θυγάτηρ ὑπὸ τὰν μίαν ἵκετο χλαῖναν,
of-Zeus to-you daughter under the one has-come cloak
οἵα Ἀχαιιάδων γαῖαν πατεῖ οὐδὲ μί᾽ ἄλλα.
such-as of-Achaean-women land treads not one other
ἦ μέγα κέν τι τέκοιτ᾽, εἰ ματέρι τίκτοι ὁμοῖον.
truly great — something she-would-bear if to-mother she-bore like
ἄμμες δ᾽ αἱ πᾶσαι συνομάλικες, αἷς δρόμος ὠὐτός
we and the all of-the-same-age to-whom course the-same
χρισαμέναις ἀνδριστὶ παρ᾽ Εὐρώταο λοετροῖς,
anointing-ourselves in-manly-fashion by of-Eurotas baths
τετράκις ἑξήκοντα κόραι, θῆλυς νεολαία,
four-times sixty girls womanly youth
τᾶν οὐδέν τις ἄμωμος, ἐπεί χ᾽ Ἑλένᾳ παρισωθῇ.
of-whom none any blameless when — to-Helen she-be-compared
Ἀὼς ἀντέλλοισα καλὸν διέφανε πρόσωπον,
Dawn rising fair shows face
πότνια νὺξ τό τε λευκὸν ἔαρ χειμῶνος ἀνέντος·
lady night the and white spring winter having-let-go
ὧδε καὶ ἁ χρυσέα Ἑλένα διαφαίνετ᾽ ἐν ἁμῖν.
so also the golden Helen shines-out among us
πιείρᾳ μέγα λᾷον ἀνέδραμε κόσμος ἀρούρᾳ
to-rich great crop has-run-up ornament to-plowland
ἢ κάπῳ κυπάρισσος ἢ ἅρματι Θεσσαλὸς ἵππος·
or to-garden cypress or to-chariot Thessalian horse
ὧδε καὶ ἁ ῥοδόχρως Ἑλένα Λακεδαίμονι κόσμος.
so also the rose-skinned Helen to-Lacedaemon ornament
οὔτέ τις ἐκ ταλάρω πανίσδεται ἔργα τοιαῦτα,
neither any from basket winds work such
οὔτ᾽ ἐνὶ δαιδαλέῳ πυκινώτερον ἄτριον ἱστῷ
nor in curious closer warp loom

κερκίδι συμπλέξασα μακρῶν ἔταμ᾽ ἐκ κελεόντων.
with-shuttle having-interwoven long cut from beams
οὐ μὰν οὐδὲ λύραν τις ἐπίσταται ὧδε κροτῆσαι
not indeed not-even lyre any knows-how so to-strike
Ἄρτεμιν ἀείδοισα καὶ εὐρύστερνον Ἀθάναν,
Artemis singing and broad-breasted Athena
ὡς Ἑλένα, τᾶς πάντες ἐπ᾽ ὄμμασιν ἵμεροι ἐντί.
as Helen whose all in eyes desires are
ὦ καλὰ ὦ χαρίεσσα κόρα, τὺ μὲν οἰκέτις ἤδη,
O fair O charming girl you indeed housewife already
ἄμμες δ᾽ ἐς δρόμον ἦρι καὶ ἐς λειμώνια φύλλα
we and to the-course at-morning and to meadow leaves
ἑρψοῦμες στεφάνως δρεψούμεναι ἁδὺ πνέοντας,
will-go garlands plucking sweetly breathing
πολλὰ τεοῦς Ἑλένα μεμναμέναι ὡς γαλαθηναὶ
much of-you Helen remembering as sucking
ἄρνες γειναμένας ὄιος μαστὸν ποθέοισαι.
lambs of-mother ewe teat longing-for
πρᾶταί τοι στέφανον λωτῶ χαμαὶ αὐξομένοιο
first to-you a-garland of-lotus low growing
πλέξασαι σκιερὰν καταθήσομεν ἐς πλατάνιστον,
having-plaited shady we-will-set on plane-tree
πρᾶται δ᾽ ἀργυρέας ἐξ ὄλπιδος ὑγρὸν ἄλειφαρ
first and silver from flask liquid oil
λαζύμεναι σταξεῦμες ὑπὸ σκιερὰν πλατάνιστον·
taking we-will-drip under shady plane-tree
γράμματα δ᾽ ἐν φλοιῷ γεγράψεται, (ὡς παριών τις
letters and on the-bark will-be-written that passing someone
ἀννείμῃ,) δωριστί· σέβου μ᾽· Ἑλένας φυτὸν εἰμί.
may-read in-Doric revere me of-Helen tree I-am

χαίροις ὦ νύμφα, χαίροις εὐπένθερε γαμβρέ.
farewell O bride farewell with-noble-father-in-law bridegroom

Λατὼ μὲν δοίη, Λατὼ κουροτρόφος ὔμμιν
Leto indeed may-give Leto nurse-of-children to-you

εὐτεκνίαν, Κύπρις δέ, θεὰ Κύπρις ἶσον ἔρασθαι
fair-offspring Cypris and goddess Cypris equally to-love

ἀλλάλων, Ζεὺς δέ, Κρονίδας Ζεὺς ἄφθιτον ὄλβον,
each-other Zeus and son-of-Cronus Zeus imperishable wealth

ὡς ἐξ εὐπατριδᾶν εἰς εὐπατρίδας πάλιν ἔνθῃ.
that from noble to noble again it-may-pass

εὕδετ' ἐς ἀλλάλων στέρνον φιλότητα πνέοντες
sleep into each-other's breast love breathing

καὶ πόθον, ἔγρεσθαι δὲ πρὸς ἀῶ μὴπιλάθησθε.
and longing to-wake but at dawn forget-not

νεύμεθα κἄμμες ἐς ὄρθρον, ἐπεί κα πρᾶτος ἀοιδὸς
we-will-come we-too at daybreak when — first singer

ἐξ εὐνᾶς κελαδήσῃ ἀνασχὼν εὔτριχα δειράν.
from bed crows raising well-feathered neck

Ὑμὴν ὦ Ὑμέναιε, γάμῳ ἐπὶ τῷδε χαρείης.
Hymen O Hymenaeus marriage at this may-you-rejoice

Κηριοκλέπτης

XIX · THE HONEY-THIEF

Love, stealing honey, is stung by a bee, blows on his hand, and complains to his mother that so small a creature makes such wounds. Aphrodite laughs that he is like the bees: small himself, but the wounds he makes are great.

Τὸν κλέπταν πότ᾽ Ἔρωτα κακὰ κέντασε μέλισσα
The thief once Love evil stung a-bee
κηρίον ἐκ σίμβλων συλεύμενον, ἄκρα δὲ χειρῶν
honeycomb from hives plundering the-tips and of-hands
δάκτυλα πάνθ᾽ ὑπένυξεν. ὁ δ᾽ ἄλγεε καὶ χέρ᾽ ἐφύση
fingers all it-pricked he and was-in-pain and hand blew-on
καὶ τὰν γᾶν ἐπάταξε καὶ ἄλατο, τᾷ δ᾽ Ἀφροδίτᾳ
and the earth struck and leapt — and to-Aphrodite
δεῖξεν τὰν ὀδύναν καὶ μέμφετο, ὅττί γε τυτθὸν
showed the pain and complained that indeed tiny
θηρίον ἐστὶ μέλισσα καὶ ἁλίκα τραύματα ποιεῖ.
creature is a-bee and how-great wounds makes
χἁ μάτηρ γελάσασα· τί δ᾽; οὐκ ἴσος ἐσσὶ μελίσσαις;
and-the mother laughing what and not like are-you to-bees
ὡς τυτθὸς μὲν ἔφυς, τὰ δὲ τραύματα χἀλίκα ποιεῖς.
that tiny indeed you-are the and wounds and-how-great you-make

Βουκολίσκος

XX · THE HERDSMAN

A herdsman complains that the city girl Eunica scorned his kiss, mocked his rustic speech and looks, and spat. He asks the shepherds whether he is not handsome and describes his beauty and his music. He recalls that goddesses loved herdsmen, as Cypris, the Moon, and Rhea did, and that Zeus himself loved a herd boy. He bids Cypris herself to sleep alone.

Εὐνείκα μ᾽ ἐγέλαξε θέλοντά μιν ἁδὺ φιλῆσαι,
Eunica me laughed-at wishing her sweetly to-kiss
καί μ᾽ ἐπικερτομέοισα τάδ᾽ ἔννεπεν· "ἔρρ᾽ ἀπ᾽ ἐμεῖο.
and me jeering these-things said go from me
βουκόλος ὢν ἐθέλεις με κύσαι τάλαν; οὐ μεμάθηκα
a-cowherd being you-wish me to-kiss wretch not I-have-learned
ἀγροίκως φιλέειν, ἀλλ᾽ ἀστικὰ χείλεα θλίβειν.
rustically to-kiss but city lips to-press
μή τύ γέ μευ κύσσῃς τὸ καλὸν στόμα μηδ᾽ ἐν ὀνείροις.
not you indeed my kiss the fair mouth not-even in dreams
οἷα βλέπεις, ὁππoῖα λαλεῖς, ὡς ἄγρια παίσδεις,
how you-look what-sort you-chatter how boorishly you-play
ὡς τρυφέρ᾽ αἰκάλλεις, ὡς κωτίλα ῥήματα φράσδεις·
how delicately you-fawn how prattling words you-speak
ὡς μαλακὸν τὸ γένειον ἔχεις, ὡς ἁδέα χαίταν.
how soft the beard you-have how sweet hair
χείλεά τοι νοσέοντι, χέρες δέ τοι ἐντὶ μέλαιναι,
lips your are-diseased hands and your are black
καὶ κακὸν ἐξόσδεις. ἀπ᾽ ἐμεῦ φύγε, μή με μολύνῃς."
and evil you-smell from me flee lest me you-defile
τοιάδε μυθίζοισα τρὶς εἰς ἑὸν ἔπτυσε κόλπον,
such-things saying thrice into her-own she-spat bosom

καί μ᾽ ἀπὸ τᾶς κεφαλᾶς ποτὶ τὼ πόδε συνεχὲς εἶδε
and me from the head to the feet continually she-eyed
χείλεσι μυχθίζοισα καὶ ὄμμασι λοξὰ βλέποισα,
with-lips sneering and with-eyes askance looking
καὶ πολὺ τᾷ μορφᾷ θηλύνετο, καί τι σεσαρὸς
and much in-the form she-played-the-woman and somewhat grinning
καὶ σοβαρόν μ᾽ ἐγέλαξεν. ἐμοὶ δ᾽ ἄφαρ ἔζεσεν αἷμα,
and haughtily me laughed-at my and at-once boiled blood
καὶ χρόα φοινίχθην ὑπὸ τῶλγεος ὡς ῥόδον ἕρσᾳ.
and skin I-reddened under the-pain like a-rose with-dew
χἁ μὲν ἔβα με λιποῖσα· φέρω δ᾽ ὑποκάρδιον ὀργάν,
and-she indeed went me leaving I-carry and under-the-heart anger
ὅττί με τὸν χαρίεντα κακὰ μωμήσαθ᾽ ἑταίρα.
that me the charming evil fault-found the-courtesan
ποιμένες, εἴπατέ μοι τὸ κρήγυον· οὐ καλὸς ἐμμί;
shepherds tell me the truth not handsome am-I
ἦρά τις ἐξαπίνας με θεὸς βροτὸν ἄλλον ἔτευξε;
then some suddenly me god mortal other made
καὶ γὰρ ἐμοὶ τὸ πάροιθεν ἐπάνθεεν ἁδύ τι κάλλος
and for on-me the before bloomed sweet some beauty
ὡς κισσὸς ποτὶ πρέμνον, ἐμὰν δ᾽ ἐπύκαζεν ὑπήναν,
like ivy on trunk my and thickened beard
χαῖται δ᾽ οἷα σέλινα περὶ κροτάφοισι κέχυντο,
hair and like parsley round temples were-spread
καὶ λευκὸν τὸ μέτωπον ἐπ᾽ ὀφρύσι λάμπε μελαίναις·
and white the forehead over brows shone black
ὄμματά μοι γλαυκᾶς χαροπώτερα πολλὸν Ἀθάνας,
eyes to-me than-gray-eyed brighter much Athena
καὶ στόμα δ᾽ αὖ πακτᾶς γλυκερώτερον, ἐκ στομάτων δὲ
and mouth and again than-curd sweeter from lips and

ἔρρεέ μοι φωνὰ γλυκερωτέρα ἢ μέλι κηρῶ.
flowed to-me voice sweeter than honey from-the-comb
ἁδὺ δέ μοι τὸ μέλισμα, καὶ ἢν σύριγγι μελίσδω,
sweet and to-me the song both if on-pipe I-play
κἢν αὐλῷ δονέω, κἢν δώνακι, κἢν πλαγιαύλῳ.
and-if on-flute I-sound and-if on-reed and-if on-cross-flute
καὶ πᾶσαι καλόν με κατ᾽ ὤρεα φαντὶ γυναῖκες,
and all fair me among the-mountains say women
καὶ πᾶσαί με φιλεῦντι· τὰ δ᾽ ἀστικά μ᾽ οὐκ ἐφίλασεν,
and all me love the but city-ones me not kissed
ἀλλ᾽ ὅτι βουκόλος ἐμμὶ παρέδραμε κοὔποτ᾽ ἀκούει,
but because cowherd I-am she-ran-past and-never hears
ὡς ὁ καλὸς Διόνυσος ἐν ἄγκεσι πόρτιν ἔλαυνεν·
how the fair Dionysus in glens a-heifer drove
οὐκ ἔγνω δ᾽, ὅτι Κύπρις ἐπ᾽ ἀνέρι μήνατο βούτᾳ
not she-knew and that Cypris for a-man went-mad cowherd
καὶ Φρυγίοις ἐνόμευσεν ἐν ὄρεσι καὶ τὸν Ἄδωνιν
and Phrygian herded in mountains and — Adonis
ἐν δρυμοῖσι φίλασε καὶ ἐν δρυμοῖσιν ἔκλαυσεν.
in thickets kissed and in thickets wept-for
Ἐνδυμίων δὲ τίς ἦν; οὐ βουκόλος; ὅν γε Σελάνα
Endymion and who was not a-cowherd whom indeed Moon
βουκολέοντα φίλασεν, ἀπ᾽ Οὐλύμπω δὲ μολοῖσα
herding kissed from Olympus and coming
λάθριον ἀν νάπος ἦλθε καὶ εἰς ἕνα παιδὶ κάθευδε.
secretly through the-glade came and to one with-the-boy slept
καὶ τὺ Ῥέα κλαίεις τὸν βουκόλον. οὐχὶ δὲ καὶ τὺ
and you Rhea weep-for the cowherd not and also you
ὦ Κρονίδα διὰ παῖδα βοηνόμον ὄρνις ἐπλάγχθης;
O son-of-Cronus for a-boy cattle-tending bird you-wandered

Εὐνείκα δὲ μόνα τὸν βουκόλον οὐκ ἐφίλασεν,
Eunica but alone the cowherd not kissed
ἁ Κυβέλας κρέσσων καὶ Κύπριδος ἠδὲ Σελάνας.
the than-Cybele better and than-Cypris and than-Moon
μηκέτι μηδὲ σὺ Κύπρι τὸν ἁδέα μήτε κατ᾽ ἄστυ
no-longer nor you Cypris the sweet neither in town
μήτ᾽ ἐν ὄρει φιλέοις, μούνη δ᾽ ἀνὰ νύκτα καθεύδοις. 45
nor on mountain may-you-love alone and through night may-you-sleep

Ἁλιεῖς

XXI · THE FISHERMEN

Poverty alone, the poet tells Diophantus, rouses the arts, and cares let no laborer sleep. Two old fishermen lie awake in their bare hut by the sea. Asphalion tells his friend he dreamed of catching a golden fish and swore never to go to sea again, and now he fears his oath. His friend answers that the dream was a lie. He should seek a fish of flesh, or starve among his golden dreams.

Ἁ πενία Διόφαντε μόνα τὰς τέχνας ἐγείρει,
The poverty Diophantus alone the arts rouses
αὐτὰ τῶ μόχθοιο διδάσκαλος· οὐδὲ γὰρ εὕδειν
itself of-the labor teacher not-even for to-sleep
ἀνδράσιν ἐργατίναισι κακαὶ παρέχοντι μέριμναι.
to-men laboring evil allow cares
κἂν ὀλίγον νυκτός τις ἐπιμύσσῃσι, τὸν ὕπνον
and-if a-little of-the-night someone closes-his-eyes the sleep
αἰφνίδιον θορυβεῦσιν ἐφιστάμεναι μελεδῶναι. 5
suddenly disturb standing-over cares
Ἰχθύος ἀγρευτῆρες ὅμως δύο κεῖντο γέροντες,
Of-fish catchers alike two lay old-men

στρωσάμενοι βρύον αὖον ὑπὸ πλεκταῖς καλύβαισι,
having-strewn seaweed dry under wattled hut
κεκλιμένοι τοίχῳ τῷ φυλλίνῳ· ἐγγύθι δ' αὐτοῖν
leaning against-wall the leafy near and them
κεῖτο τὰ ταῖν χειροῖν ἀθλήματα, τοὶ καλαθίσκοι,
lay the of-the-two hands tools the baskets
τοὶ κάλαμοι, τἄγκιστρα τὰ φυκιόεντα δέλητα
the rods the-hooks the weedy baits
ὁρμιαὶ κύρτοι τε καὶ ἐκ σχοίνων λαβύρινθοι,
lines weels both and from rushes labyrinths
μήρινθοι κώπα τε γέρων τ' ἐπ' ἐρείσμασι λέμβος·
cords oar and old and on props boat
νέρθεν τᾶς κεφαλᾶς φορμὸς βραχύς, εἱμά τ' ἐπί σφι
beneath the head mat short clothes and over them
οὗτος τοῖς ἁλιεῦσιν ὁ πᾶς πόρος, οὗτος ὁ πλοῦτος.
this to-the fishermen the whole means this the wealth
οὐδεὶς δ' αὖ σισύραν εἶχ' οὐ λίνα· πάντα περισσά,
no-one and again a-rug had not nets all superfluous
πάντ' ἐδόκει τήνοις· ἁ γὰρ πενία σφας ἔτειρε
all seemed to-them the for poverty them wore-down
οὐδεὶς δ' ἐν μέσσῳ γείτων· πενίᾳ δὲ παρ' αὐτὰν
no-one and in middle neighbor by-poverty and by it
θλιβομέναν καλύβαν τρυφερὸν προσέναχε θάλασσα.
squeezed hut delicately splashed sea
κοὔπω τὸν μέσατον δρόμον ἄνυεν ἅρμα Σελάνας,
and-not-yet the middle course finished the-chariot of-Moon
τοὺς δ' ἁλιεῖς ἤγειρε φίλος πόνος, ἐκ βλεφάρων δὲ
the and fishermen roused dear toil from eyelids and
ὕπνον ἀπωσάμενοι σφετέραις φρεσὶν ἤρεθον αὐδάν.
sleep having-thrust-off in-their minds stirred speech

ΑΣΦΑΛΙΩΝ ψεύδοντ᾽ ὦ φίλε πάντες, ὅσοι τὰς νύκτας ἔφασκον
lie O friend all as-many-as the nights said
τῶ θέρεος μινύθειν, ὅτε τἄματα μακρὰ φέρει Ζεύς.
of-the summer to-shorten when the-days long brings Zeus
ἤδη μυρί᾽ ἐσεῖδον ὀνείρατα, κοὐδέπω ἀώς.
already countless I-have-seen dreams and-not-yet dawn
μὴ λαθόμην; τί τὸ χρῆμα; χρόνον δ᾽ αἱ νύκτες ἔχοντι.
not I-forget what the matter time and the nights have
ΕΤΑΙΡΟΣ Ἀσφαλίων, μέμφῃ τὸ καλὸν θέρος; οὐ γὰρ ὁ καιρὸς
Asphalion you-blame the fair summer not for the season
αὐτομάτως παρέβα τὸν ἐὸν δρόμον· ἀλλὰ τὸν ὕπνον
of-its-own-accord has-passed the its-own course but the sleep
ἁ φροντὶς κόπτοισα μακρὰν τὰν νύκτα ποιεῖ τοι.
the care cutting long the night makes for-you
ΑΣΦΑΛΙΩΝ ἦρ᾽ ἔμαθες κρίνειν πόκ᾽ ἐνύπνια; χρηστὰ γὰρ εἶδον.
then have-you-learned to-judge ever dreams good for I-saw
οὔ σε θέλω τὠμῷ φαντάσματος ἦμεν ἄμοιρον.
not you I-wish of-my vision to-be without-share
ὡς καὶ τὰν ἄγραν, τὠνείρατα πάντα μερίζευ.
as also the catch the-dreams all share
ὃς γὰρ ἂν εἰκάξῃ κατὰ τὸν νόον οὗτος ἄριστος
who for — guesses by the mind this-one best
ἐστὶν ὀνειροκρίτας, ὁ διδάσκαλός ἐστι παρ᾽ ᾧ νοῦς.
is dream-judge the teacher is with whom wit
ἄλλως καὶ σχολά ἐστι· τί γὰρ ποιεῖν ἂν ἔχοι τις
anyway also leisure is what for to-do — could-have one
κείμενος ἐν φύλλοις ποτὶ κύματι μηδὲ καθεύδων,
lying in leaves by wave nor sleeping
ἀλλ᾽ ὄνος ἐν ῥάμνῳ τό τε λύχνιον ἐν πρυτανείῳ·
but an-ass in thornbush the and lamp in town-hall

φαντὶ γὰρ ἀγρυπνίαν τόδ' ἔχειν. ΕΤΑΙΡΟΣ λέγε μοί ποτε νυκτὸς
they-say for wakefulness this to-have tell me ever by-night
ὄψιν, ἐπεὶ τά τις οἶδε λέγει μανύεν ἑταίρῳ.
vision since the-things one knows he-says to-tell to-a-comrade
ΑΣΦΑΛΙΩΝ δειλινὸν ὡς κατέδαρθον ἐν εἰναλίοισι πόνοισιν
at-evening when I-fell-asleep in seafaring labors
(οὐ μὰν ἦν πολύσιτος, ἐπεὶ δειπνεῦντες ἐν ὥρᾳ,
not indeed I-was well-fed since dining in season
εἰ μέμνῃ, τᾶς γαστρὸς ἐφειδόμεθ'), εἶδον ἐμαυτὸν
if you-remember the belly we-spared I-saw myself
ἐν πέτρᾳ μεμαῶτα, καθεζόμενος δ' ἐδόκευον
on a-rock eager sitting and I-watched
ἰχθύας, ἐκ καλάμων δὲ πλάνον κατέσειον ἐδωδάν.
fish from rods and deceiving I-shook-down bait
καί τις τῶν τραφερῶν ὠρέξατο· καὶ γὰρ ἐν ὕπνοις
and some of-the fat reached and for in sleeps
πᾶσα κύων ἄρκτον μαντεύεται, ἰχθύα κἠγών.
every dog a-bear divines a-fish and-I
χὠ μὲν τὠγκίστρῳ ποτεφύετο, καὶ ῥέεν αἷμα,
and-he indeed on-the-hook stuck and flowed blood
τὸν κάλαμον δ' ὑπὸ τῶ κινήματος ἀγκύλον εἶχον
the rod and by the motion bent I-held
τὼ χέρε τεινόμενον περικλώμενον, εὐρὺν ἀγῶνα,
the two-hands stretching bent-round broad contest
πῶς νιν ἕλω μέγαν ἰχθὺν ἀφαυροτέροισι σιδάροις.
how it shall-I-take great fish with-feebler irons
εἶθ' ὑπομιμνάσκων τῶ τρώματος ἠρέμ' ἔνυξα,
then reminding of-the wound gently I-pricked
καὶ νύξας ἐχάλαξα, καὶ οὐ φεύγοντος ἔτεινα.
and having-pricked I-slackened and not fleeing I-stretched

ἤνυσα δ᾽ ὧν τὸν ἄεθλον, ἀνείλκυσα χρύσεον ἰχθύν,
I-finished and then the struggle I-hauled-up golden fish
παντᾷ τοι χρυσῷ πεπυκασμένον· εἶχε δὲ δεῖμα,
all-over you-know with-gold covered had and fear
μήτι Ποσειδάωνι πέλοι πεφιλημένος ἰχθὺς
lest to-Poseidon might-be beloved fish
ἢ τάχα τᾶς γλαυκᾶς κειμήλιον Ἀμφιτρίτης.
or perhaps of-the gray treasure Amphitrite
ἠρέμα δ᾽ αὐτὸν ἐγὼν ἐκ τὠγκίστρω ἀπέλυσα,
gently and it I from the-hook loosed
μή ποτε τῶ στόματος τἀγκίστρια χρυσὸν ἔχοιεν.
lest ever of-the mouth the-hooks gold might-hold
καὶ τὸν μὲν πίστευσα καλεῖν τὸν ἐπήρατον ἰχθύν,
and the indeed I-trusted to-call the lovely fish
ὤμοσα δ᾽ οὐκέτι λοιπὸν ὑπὲρ πελάγους πόδα θεῖναι,
I-swore and no-longer henceforth over sea foot to-set
ἀλλὰ μενεῖν ἐπὶ γᾶς καὶ τῷ χρυσῷ βασιλεύσειν.
but to-stay on land and with-the gold to-be-king
ταῦτά με κἀξήγειρε, τὺ δ᾽ ὦ ξένε λοιπὸν ἔρειδε
these-things me and-woke you and O stranger henceforth fix
τὰν γνώμαν· ὅρκον γὰρ ἐγὼ τὸν ἐπώμοσα ταρβῶ.
the mind oath for I which I-swore fear
ΕΤΑΙΡΟΣ καὶ σύγε τί τρέσσεις; οὐκ ὤμοσας· οὐδὲ γὰρ ἰχθὺν
and you-indeed why tremble not you-swore not-even for fish
χρύσεον ὡς ἴδες εὗρες, ἴσα δ᾽ ἦν ψεύδεσιν ὄψις,
golden as you-saw you-found equal and was to-lies the-vision
ἐλπὶς τῶν ὕπνων. ζάτει τὸν σάρκινον ἰχθύν,
hope of-the sleeps seek the fleshly fish

εἰ γάρ πᾳ κνώσσων ἔτ' ἐτώσια ταῦτα ματεύσεις,
if for somehow dozing still vain these you-will-seek
μὴ σὺ θάνῃς λιμῷ καίτοι χρυσοῖσιν ὀνείροις.
lest you die of-hunger though with-golden dreams

Διόσκουροι

XXII · THE DIOSCURI

The poet hymns Castor and Polydeuces, saviors of sailors. At a spring in the land of the Bebrycians, the giant Amycus forbids Polydeuces to drink without a fight. Polydeuces beats him at boxing and makes him swear to harm no stranger. Castor fights Lynceus over the daughters of Leucippus and kills him, and Zeus strikes down Idas with a thunderbolt. The poet closes by offering the twins his songs, as Homer sang the heroes of Troy.

Ὑμνέομεν Λήδας τε καὶ αἰγιόχου Διὸς υἱώ,
We-hymn of-Leda both and of-aegis-bearing Zeus two-sons
Κάστορα καὶ φοβερὸν Πολυδεύκεα πὺξ ἐρεθίζειν
Castor and dread Polydeuces with-the-fist to-provoke
χεῖρας ἐπιζεύξαντα μέσας βοέοισιν ἱμᾶσιν.
hands having-yoked middle with-oxhide thongs
ὑμνέομεν καὶ δὶς καὶ τὸ τρίτον ἄρσενα τέκνα
we-hymn both twice and the third-time male children
κούρης Θεστιάδος, Λακεδαιμονίους δύ' ἀδελφούς,
of-the-maiden daughter-of-Thestius Lacedaemonian two brothers
ἀνθρώπων σωτῆρας ἐπὶ ξυροῦ ἤδη ἐόντων,
of-men saviors on razor's-edge already being
ἵππων θ' αἱματόεντα ταρασσομένων καθ' ὅμιλον,
of-horses and bloody maddened through the-throng
νηῶν θ', αἳ δύνοντα καὶ οὐρανὸν ἐξανύοντα
of-ships and which setting and heaven reaching

ἄστρα βιαζόμεναι χαλεποῖς ἐνέκυρσαν ἀήταις.
stars defying harsh have-met blasts

οἱ δέ σφεων κατὰ πρύμναν ἀείραντες μέγα κῦμα,
they and of-them over the-stern raising great wave

ἠὲ καὶ ἐκ πρῴρηθεν, ἢ ὅππῃ θυμὸς ἑκάστου,
or also from the-prow or where the-mind of-each

ἐς κοίλην ἔρριψαν, ἀνέρρηξαν δ' ἄρα τοίχους
into the-hold have-dashed have-broken and then sides

ἀμφοτέρους· κρέμαται δὲ σὺν ἱστίῳ ἄρμενα πάντα
both hangs and with sail tackle all

εἰκῇ ἀποκλασθέντα· πολὺς δ' ἐξ οὐρανοῦ ὄμβρος
at-random snapped-off much and from heaven rain

νυκτὸς ἐφερπούσης· παταγεῖ δ' εὐρεῖα θάλασσα,
night coming-on roars and broad sea

κοπτομένη πνοιαῖς τε καὶ ἀρρήκτοισι χαλάζαις.
lashed by-blasts both and by-unbreakable hail

ἀλλ' ἔμπης ὑμεῖς γε καὶ ἐκ βυθοῦ ἕλκετε νῆας
but nevertheless you indeed even from the-depth drag ships

αὐτοῖσιν ναύτῃσιν ὀιομένοις θανέεσθαι·
with-themselves sailors thinking to-die

αἶψα δ' ἀπολήγοντ' ἄνεμοι, λιπαρὴ δὲ γαλάνη
at-once and cease winds bright and calm

ἀμπέλαγος· νεφέλαι δὲ διέδραμον ἄλλυδις ἄλλαι·
over-the-sea clouds and ran-apart this-way that

ἐκ δ' ἄρκτοι τ' ἐφάνησαν, ὄνων τ' ἀνὰ μέσσον ἀμαυρὴ
out and the-bears and appeared of-the-asses and among middle dim

φάτνη σημαίνοισα τὰ πρὸς πλόον εὔδια πάντα.
manger signifying the for sailing fair all

ὦ ἄμφω θνητοῖσι βοηθόοι, ὦ φίλοι ἄμφω,
O both to-mortals helpers O dear both

ἱππῆες κιθαρισταί, ἀεθλητῆρες ἀοιδοί·
horsemen lyre-players athletes singers
Κάστορος ἢ πρώτου Πολυδεύκεος ἄρξομ᾽ ἀείδειν;
of-Castor or first of-Polydeuces shall-I-begin to-sing
ἀμφοτέρους ὑμνέων Πολυδεύκεα πρῶτον ἀείσω.
both hymning Polydeuces first I-will-sing
Ἡ μὲν ἄρα προφυγοῦσα πέτρας εἰς ἓν ξυνιούσας
She indeed then having-escaped rocks into one coming-together
Ἀργὼ καὶ νιφόεντος ἀταρτηρὸν στόμα Πόντου
Argo and of-snowy grim mouth Pontus
Βέβρυκας εἰσαφίκανε θεῶν φίλα τέκνα φέρουσα.
the-Bebrycians reached of-gods dear children bearing
ἔνθα μιῆς πολλοὶ κατὰ κλίμακος ἀμφοτέρων ἔξ
there one many down ladder both from
τοίχων ἄνδρες ἔβαινον Ἰησονίης ἀπὸ νηός.
sides men went-down Jason's from ship
ἐκβάντες δ᾽ ἐπὶ θῖνα βαθὺν καὶ ὑπήνεμον ἀκτὴν
going-out and on beach deep and sheltered shore
εὐνάς τ᾽ ἐστόρνυντο πυρεἰά τε χερσὶν ἐνώμων.
beds both they-spread fire-sticks and with-hands plied
Κάστωρ δ᾽ αἰολόπωλος ὅ τ᾽ οἰνωπὸς Πολυδεύκης
Castor and of-swift-steeds — and wine-faced Polydeuces
ἄμφω ἐρημάζεσκον ἀποπλαγχθέντες ἑταίρων,
both wandered-alone having-strayed from-comrades
παντοίην ἐν ὄρει θηεύμενοι ἄγριον ὕλην.
of-every-kind on mountain gazing wild wood
εὗρον δ᾽ ἀέναον κρήνην ὑπὸ λισσάδι πέτρῃ
they-found and an-ever-flowing spring under sheer rock
ὕδατι πεπληθυῖαν ἀκηράτῳ· αἱ δ᾽ ὑπένερθεν
with-water full pure the and beneath

λάλλαι κρυστάλλῳ ἠδ' ἀργύρῳ ἰνδάλλοντο
pebbles to-crystal and to-silver were-like
ἐκ βυθοῦ· ὑψηλαὶ δὲ πεφύκεσαν ἀγχόθι πεῦκαι
from the-depth tall and grew near pines
λεῦκαί τε πλάτανοί τε καὶ ἀκρόκομοι κυπάρισσοι,
poplars both plane-trees and and leafy-topped cypresses
ἄνθεά τ' εὐώδη, λασίαις φίλα ἔργα μελίσσαις,
flowers and fragrant for-shaggy dear work for-bees
ὅσσ' ἔαρος λήγοντος ἐπιβρύει ἀν λειμῶνας.
as-many-as of-spring ending teem over meadows
ἔνθα δ' ἀνὴρ ὑπέροπλος ἐνήμενος ἐνδιάασκε,
there and a-man huge sitting spent-his-time
δεινὸς ἰδεῖν, σκληραῖσι τεθλασμένος οὔατα πυγμαῖς·
terrible to-see by-hard crushed ears by-blows
στήθεα δ' ἐσφαίρωτο πελώρια καὶ πλατὺ νῶτον
breast and was-rounded vast and broad back
σαρκὶ σιδηρείῃ, σφυρήλατος οἷα κολοσσός.
flesh of-iron hammered like-a colossus
ἐν δὲ μύες στερεοῖσι βραχίοσιν ἄκρον ὑπ' ὦμον
in and muscles on-firm arms the-top under shoulder
ἕστασαν ἠύτε πέτροι ὁλοίτροχοι, οὔστε κυλίνδων
stood like rocks round which rolling
χειμάρρους ποταμὸς μεγάλαις περιέξεσε δίναις·
torrent river with-great has-smoothed eddies
αὐτὰρ ὑπὲρ νώτοιο καὶ αὐχένος ἠωρεῖτο
but over back and neck hung
ἄκρων δέρμα λέοντος ἀφημμένον ἐκ ποδεώνων.
by-the-tip skin of-lion fastened by paws
τὸν πρότερος προσέειπεν ἀεθλοφόρος Πολυδεύκης.
him first addressed prize-winning Polydeuces

ΠΟΛΥΔΕΥΚΗΣ χαῖρε ξεῖν', ὅτις ἐσσί. τίνες βροτοί, ὧν ὅδε χῶρος;
hail stranger whoever you-are what mortals whose this land

55 ΑΜΥΚΟΣ χαίρω πῶς, ὅτε τ' ἄνδρας ὁρῶ, τοὺς μὴ πρὶν ὄπωπα;
hail how when and men I-see whom not before I-have-seen

ΠΟΛΥΔΕΥΚΗΣ θάρσει. μήτ' ἀδίκους μήτ' ἐξ ἀδίκων φάθι λεύσσειν.
take-heart neither unjust nor from unjust say to-see

ΑΜΥΚΟΣ θαρσέω, κοὐκ ἐκ σεῦ με διδάσκεσθαι τόδ' ἔοικεν.
I-take-heart and-not from you me to-be-taught this befits

ΠΟΛΥΔΕΥΚΗΣ ἄγριος εἶ, πρὸς πάντα παλίγκοτος, ἢ ὑπερόπτης;
savage are-you to all resentful or arrogant

ΑΜΥΚΟΣ τοιόσδ' οἷον ὁρᾷς· τῆς σῆς γε μὲν οὐκ ἐπιβαίνω.
such as you-see of-the your indeed indeed not I-set-foot

60 ΠΟΛΥΔΕΥΚΗΣ ἔλθοις, καὶ ξενίων γε τυχὼν πάλιν οἴκαδ' ἱκάνοις.
may-you-come and gifts indeed obtaining back home may-you-reach

ΑΜΥΚΟΣ μήτε σύ με ξείνιζε, τά τ' ἐξ ἐμεῦ οὐκ ἐν ἑτοίμῳ.
neither you me entertain the and from me not in readiness

ΠΟΛΥΔΕΥΚΗΣ δαιμόνι', οὐδ' ἂν τοῦδε πιεῖν ὕδατος σύγε δοίης;
strange-man not-even — of-this to-drink water you would-give

ΑΜΥΚΟΣ γνώσεαι, εἴ σευ δῖψος ἀνειμένα χείλεα τέρσει.
you-will-know if your thirst slackened lips parches

ΠΟΛΥΔΕΥΚΗΣ ἄργυρος ἢ τίς ὁ μισθός, ἐρεῖς,
silver or what the price will-you-say

ᾧ κέν σε πίθοιμεν;
for-which — you we-may-persuade

65 ΑΜΥΚΟΣ εἷς ἐνὶ χεῖρας ἄειρον ἐναντίος ἀνδρὶ καταστάς.
one against-one hands raise opposite to-a-man standing

ΠΟΛΥΔΕΥΚΗΣ πυγμάχος, ἢ καὶ ποσσὶ θενὼν σκέλος;
boxing or also with-feet striking the-leg

ΑΜΥΚΟΣ *** ὄμματά γ' ὀρθὸς
(lacuna) eyes indeed straight

πὺξ διατεινάμενος σφετέρης μὴ φείδεο τέχνης.
with-fist stretching-out of-your-own not spare skill

ΠΟΛΥΔΕΥΚΗΣ τίς γάρ, ὅτῳ χεῖρας καὶ ἐμοὺς συνερείσω ἱμάντας;
who for with-whom hands and my shall-I-join thongs

ΑΜΥΚΟΣ ἐγγὺς ὁρᾷς· οὐ γύννις ἐὼν κεκλήσεθ' ὁ πύκτης.
near you-see not a-woman being will-be-called the boxer

ΠΟΛΥΔΕΥΚΗΣ ἦ καὶ ἄεθλον ἑτοῖμον, ἐφ' ᾧ δηρισόμεθ' ἄμφω
truly also a-prize ready over which we-shall-contend both

ΑΜΥΚΟΣ σὸς μὲν ἐγώ, σὺ δ' ἐμὸς κεκλήσεαι, αἴκε κρατήσω.
yours indeed I you and mine will-be-called if I-win

ΠΟΛΥΔΕΥΚΗΣ ὀρνίθων φοινικολόφων τοιοίδε κυδοιμοί.
of-birds crimson-crested such battles

ΑΜΥΚΟΣ εἴτ' οὖν ὀρνίθεσσιν ἐοικότες εἴτε λέουσι
whether then to-birds like or to-lions

γινόμεθ', οὐκ ἄλλῳ γε μαχεσσαίμεσθ' ἐπ' ἀέθλῳ.
we-become not other indeed we-would-fight over prize

Ἦ ῥ' Ἄμυκος, καὶ κόχλον ἑλὼν μυκήσατο κοίλην.
Spoke then Amycus and a-conch taking blew hollow

οἱ δὲ θοῶς συνάγερθεν ὑπὸ σκιερὰς πλατανίστους
they and quickly gathered under shady plane-trees

κόχλου φυσηθέντος ἀεὶ Βέβρυκες κομόωντες.
conch blown always Bebrycians long-haired

ὣς δ' αὔτως ἥρωας ἰὼν ἐκαλέσσατο πάντας
so and likewise the-heroes going called all

Μαγνήσσης ἀπὸ νηὸς ὑπείροχος ἐν δαΐ Κάστωρ.
Magnesian from ship surpassing in battle Castor

οἱ δ' ἐπεὶ οὖν σπείρῃσιν ἐκαρτύναντο βοείαις
they and when then with-coils they-strengthened oxhide

χεῖρας καὶ περὶ γυῖα μακροὺς εἵλιξαν ἱμάντας,
hands and around limbs long wound thongs

ἐς μέσσον σύναγον φόνον ἀλλήλοισι πνέοντες.
into middle they-came slaughter to-one-another breathing
ἔνθα πολύς σφισι μόχθος ἐπειγομένοισιν ἐτύχθη,
there much for-them toil hastening arose
ὁππότερος κατὰ νῶτα λάβοι φάος ἠελίοιο·
which-of-the-two on back should-get light of-the-sun
ἰδρείῃ μέγαν ἄνδρα παρήλυθες ὦ Πολύδευκες,
by-skill great man you-outdid O Polydeuces
βάλλετο δ' ἀκτίνεσσιν ἅπαν Ἀμύκοιο πρόσωπον.
was-struck and with-rays all of-Amycus face
αὐτὰρ ὅγ' ἐν θυμῷ κεχολωμένος ἴετο πρόσσω,
but he in heart angered rushed forward
χερσὶ τιτυσκόμενος. τοῦ δ' ἄκρον τύψε γένειον
with-hands aiming of-him and the-tip struck chin
Τυνδαρίδης ἐπιόντος· ὀρίνθη δὲ πλέον ἢ πρίν,
son-of-Tyndareus advancing was-roused and more than before
σὺν δὲ μάχην ἐτάραξε, πολὺς δ' ἐπέκειτο νενευκὼς
together and battle confounded heavily and pressed stooping
ἐς γαῖαν. Βέβρυκες δ' ἐπαΰτεον, οἱ δ' ἑτέρωθεν
to earth Bebrycians and shouted they and on-the-other-side
ἥρωες κρατερὸν Πολυδεύκεα θαρσύνεσκον,
heroes mighty Polydeuces encouraged
δειδιότες μή πώς μιν ἐπιβρίσας δαμάσειε
fearing lest somehow him bearing-down he-might-overcome
χώρῳ ἐνὶ στεινῷ Τιτυῷ ἐναλίγκιος ἀνήρ.
place in narrow to-Tityus like man
ἤτοι ὅγ' ἔνθα καὶ ἔνθα παριστάμενος Διὸς υἱὸς
truly he here and there standing-beside of-Zeus son
ἀμφοτέρῃσιν ἄμυσσεν ἀμοιβαδίς, ἔσχεθε δ' ὁρμῆς
with-both struck in-turn checked and from-assault

παῖδα Ποσειδάωνος ὑπερφίαλόν περ ἐόντα.
the-son of-Poseidon overweening though being
ἔστη δὲ πληγαῖς μεθύων, ἐκ δ' ἔπτυσεν αἷμα
stood and with-blows drunk out and spat blood
φοίνιον· οἱ δ' ἅμα πάντες ἀριστῆες κελάδησαν,
red they and together all chiefs shouted
ὡς ἴδον ἕλκεα λυγρὰ περὶ στόμα τε γναθμούς τε·
when they-saw wounds grievous round mouth both jaws and
ὄμματα δ' οἰδήσαντος ἀπεστείνωτο προσώπου.
eyes and of-swollen were-narrowed face
τὸν μὲν ἄναξ ἐτάρασσεν ἐτώσια χερσὶ προδεικνὺς
him indeed the-lord confounded vainly with-hands feinting
πάντοθεν· ἀλλ' ὅτε δή μιν ἀμηχανέοντ' ἐνόησε,
from-all-sides but when indeed him helpless he-noticed
μέσσης ῥινὸς ὕπερθε κατ' ὀφρύος ἤλασε πυγμῇ,
middle nose above down brow drove with-fist
πᾶν δ' ἀπέσυρε μέτωπον ἐς ὀστέον. αὐτὰρ ὁ πληγεὶς
all and stripped forehead to bone but he struck
ὕπτιος ἐν φύλλοισι τεθηλόσιν ἐξετανύσθη.
on-his-back in leaves blooming was-stretched
ἔνθα μάχη δριμεῖα πάλιν γένετ' ὀρθωθέντος·
there battle fierce again arose of-him-risen
ἀλλήλους δ' ὄλεκον στερεοῖς θείνοντες ἱμᾶσιν.
each-other and destroyed with-hard striking thongs
ἀλλ' ὁ μὲν ἐς στῆθός τε καὶ ἔξω χεῖρας ἐνώμα
but he indeed to chest both and outside hands plied
αὐχένος ἀρχηγὸς Βεβρύκων· ὁ δ' ἀεικέσι πληγαῖς
of-the-neck chief of-the-Bebrycians he and with-unseemly blows
πᾶν συνέφυρε πρόσωπον ἀνίκητος Πολυδεύκης.
all mashed face unconquered Polydeuces

σάρκες δ' αἱ μὲν ἱδρῶτι συνίζανον, ἐκ μεγάλου δὲ
flesh and the one with-sweat shrank from great and
αἶψ' ὀλίγος γένετ' ἀνδρός· ὁ δ' αἰεὶ πάσσονα γυῖα
quickly little became man he and ever stouter limbs
ἁπτομένου φορέεσκε πόνου καὶ χροιῇ ἀμείνων.
being-engaged bore of-the-toil and in-color better
πῶς γὰρ δὴ Διὸς υἱὸς ἀδηφάγον ἄνδρα καθεῖλεν;
how for indeed of-Zeus son gluttonous man laid-low
εἰπὲ θεά, σὺ γὰρ οἶσθα· ἐγὼ δ' ἑτέρων ὑποφήτης
tell goddess you for know I and of-others interpreter
φθέγξομαι, ὡς ἐθέλεις σύ, καὶ ὅππως τοι φίλον αὐτῇ.
will-utter as wish you and how to-you dear yourself
Ἤτοι ὅγε ῥέξαί τι λιλαιόμενος μέγα ἔργον
Truly he to-do some yearning great deed
σκαιῇ μὲν σκαιὴν Πολυδεύκεος ἔλλαβε χεῖρα,
with-left indeed left of-Polydeuces seized hand
δοχμὸς ἀπὸ προβολῆς κλινθείς, ἑτέρῃ δ' ἐπιβαίνων
slanting from guard leaning with-the-other and advancing
δεξιτερῆς ἤνεγκεν ἀπὸ λαγόνος πλατὺ γυῖον.
right brought from flank broad limb
καί κε τυχὼν ἔβλαψεν Ἀμυκλαίων βασιλῆα.
and — hitting would-have-hurt of-the-Amyclaeans king
ἀλλ' ὅγ' ὑπεξανέδυ κεφαλῇ, στιβαρῇ δ' ἅμα χειρὶ
but he slipped-out with-head stout and at-once with-hand
πλῆξεν ὑπὸ σκαιὸν κρόταφον καὶ ἐπέμπεσεν ὤμῳ·
struck under left temple and bore-down with-shoulder
ἐκ δ' ἐχύθη μέλαν αἷμα θοῶς κροτάφοιο χανόντος·
out and poured dark blood swiftly from-temple gaping
λαιῇ δὲ στόμα κόψε, πυκνοὶ δ' ἀράβησαν ὀδόντες·
with-left and mouth he-hit thick and rattled teeth

αἰεὶ δ᾽ ὀξυτέρῳ πιτύλῳ δηλεῖτο πρόσωπον,
always and with-sharper flurry he-harmed face
μέχρι συνηλοίησε παρήια. πᾶς δ᾽ ἐπὶ γαίῃ
until he-crushed cheeks all and on earth
κεῖτ᾽ ἀλλοφρονέων, καὶ ἀνέσχεθε νεῖκος ἀπαυδῶν
lay out-of-his-mind and held-up strife renouncing
ἀμφοτέρας ἅμα χεῖρας, ἐπεὶ θανάτου σχεδὸν ἦεν. 130
both together hands since death near he-was
τὸν μὲν ἄρα κρατέων περ ἀτάσθαλον οὐδὲν ἔρεξας,
him indeed then conquering though wanton nothing you-did
ὦ πύκτη Πολύδευκες· ὄμοσσε δέ τοι μέγαν ὅρκον,
O boxer Polydeuces swore and to-you great oath
ὃν πατέρ᾽ ἐκ πόντοιο Ποσειδάωνα κικλήσκων,
his father from sea Poseidon calling
μήποτ᾽ ἔτι ξείνοισιν ἑκὼν ἀνιηρὸς ἔσεσθαι.
never still to-strangers willingly grievous to-be
Καὶ σὺ μὲν ὕμνησαί μοι ἄναξ. σὲ δὲ Κάστορ ἀείσω, 135
And you indeed you-have-been-hymned by-me lord you and Castor I-will-sing
Τυνδαρίδη ταχύπωλε δορυσσόε χαλκεοθώρηξ.
son-of-Tyndareus swift-steeded spear-brandishing bronze-corseleted
Τὼ μὲν ἀναρπάξαντε δύω φερέτην Διὸς υἱὼ
The-two indeed having-snatched-up two were-carrying of-Zeus two-sons
δοιὰς Λευκίπποιο κόρας· δοιὼ δ᾽ ἄρα τώγε
two of-Leucippus daughters two and then they-two
ἐσσυμένως ἐδίωκον ἀδελφεὼ υἷ᾽ Ἀφαρῆος,
eagerly pursued brothers sons of-Aphareus
γαμβρὼ μελλογάμω, Λυγκεὺς καὶ ὁ καρτερὸς Ἴδας. 140
bridegrooms soon-to-marry Lynceus and the mighty Idas
ἀλλ᾽ ὅτε τύμβον ἵκανον ἀποφθιμένου Ἀφαρῆος,
but when the-tomb they-reached of-dead Aphareus

ἐκ δίφρων ἅμα πάντες ἐπ᾽ ἀλλήλοισιν ὄρουσαν,
from chariots together all on each-other leapt
ἔγχεσι καὶ κοίλοισι βαρυνόμενοι σακέεσσι.
with-spears and hollow weighed-down shields
Λυγκεὺς δ᾽ αὖ μετέειπεν ὑπὲκ κόρυθος μέγ᾽ ἀύσας·
Lynceus and in-turn spoke-out from-under helmet loudly shouting
Δαιμόνιοι, τί μάχης ἱμείρετε; πῶς δ᾽ ἐπὶ νύμφαις
Strange-men why battle do-you-long-for how and over brides
ἀλλοτρίαις χαλεποί, γυμναὶ δ᾽ ἐν χερσὶ μάχαιραι;
others' harsh bare and in hands swords
ἡμῖν τοι Λεύκιππος ἑὰς ἔδνωσε θύγατρας
to-us you-know Leucippus his-own betrothed daughters
τάσδε πολὺ προτέροις, ἡμῖν γάμος οὗτος ἐν ὅρκῳ·
these much before to-us marriage this on oath
ὑμεῖς δ᾽ οὐ κατὰ κόσμον ἐπ᾽ ἀλλοτρίοις λεχέεσσιν
you and not in order on others' beds
βουσὶ καὶ ἡμιόνοισι καὶ ἄλλοισι κτεάτεσσιν
with-cows and mules and other possessions
ἄνδρα παρετρέψασθε, γάμον δ᾽ ἐκλέπτετε δώροις.
man you-turned-aside the-marriage and stole with-gifts
ἦ μὰν πολλάκις ὔμμιν ἐνώπιον ἀμφοτέροισιν
truly indeed often to-you face-to-face both
αὐτὸς ἐγὼ τάδ᾽ ἔειπα καὶ οὐ πολύμυθος ἐών περ·
myself I these-things said and not of-many-words being though
"οὐχ οὕτω φίλοι ἄνδρες ἀριστήεσσιν ἔοικε
not so friends men for-chiefs befits
μνηστεύειν ἀλόχους, αἷς νυμφίοι ἤδη ἑτοῖμοι.
to-woo wives for-whom bridegrooms already ready
πολλή τοι Σπάρτη, πολλὴ δ᾽ ἱππήλατος Ἦλις,
large you-know Sparta large and horse-driving Elis

Ἀρκαδίη τ᾽ εὔμηλος Ἀχαιῶν τε πτολίεθρα,
Arcadia and rich-in-sheep of-Achaeans and towns
Μεσσήνη τε καὶ Ἄργος ἅπασά τε Σισυφὶς ἀκτή·
Messene both and Argos all and Sisyphean coast
ἔνθα κόραι τοκέεσσιν ὑπὸ σφετέροισι τρέφονται
there girls by-parents under their-own are-reared
μυρίαι οὔτε φυῆς ἐπιδευέες οὔτε νόοιο.
countless neither of-form lacking nor of-mind
τάων εὐμαρὲς ὔμμιν ὀπυίειν ἅς κ᾽ ἐθέλητε·
of-whom easy for-you to-wed whom — you-wish
ὡς ἀγαθοῖς πολέες βούλοιντό κε πενθεροὶ εἶναι·
since to-good many would-wish — fathers-in-law to-be
ὑμεῖς δ᾽ ἐν πάντεσσι διάκριτοι ἡρώεσσι,
you and among all distinguished heroes
καὶ πατέρες καὶ ἄνωθεν ἅπαν πατρώιον αἷμα.
both fathers and from-above all ancestral blood
ἀλλὰ φίλοι τοῦτον μὲν ἐάσατε πρὸς τέλος ἐλθεῖν
but friends this indeed let to end to-come
ἄμμι γάμον· σφῷν δ᾽ ἄλλον ἐπιφραζώμεθα πάντες.”
for-us marriage for-you-two and another let-us-devise all
ἴσκον τοιάδε πολλά, τὰ δ᾽ εἰς ὑγρὸν ᾤχετο κῦμα
I-said such-things many the but into wet went wave
πνοιὴ ἔχουσ᾽ ἀνέμοιο, χάρις δ᾽ οὐχ ἕσπετο μύθοις.
breath having of-wind grace and not followed words
σφὼ γὰρ ἀκηλήτω καὶ ἀπηνέες. ἀλλ᾽ ἔτι καὶ νῦν
you-two for implacable and harsh but still even now
πείθεσθ᾽· ἄμφω δ᾽ ἄμμιν ἀνεψιὼ ἐκ πατρὸς ἐστόν.
obey both and to-us cousins on father’s-side are
εἰ δ᾽ ὑμῖν κραδίη πόλεμον ποθεῖ, αἵματι δὲ χρὴ
if but your heart war longs-for with-blood and one-must

νεῖκος ἀναρρήξαντας ὁμοίιον ἔγχεα λοῦσαι,
strife having-burst-forth common spears to-wash
Ἴδας μὲν καὶ ὅμαιμος ἐμός, κρατερὸς Πολυδεύκης,
Idas indeed and kinsman mine mighty Polydeuces
χεῖρας ἐρωήσουσιν ἀπεχθομένης ὑσμίνης,
hands will-hold-back from-hateful fight
νῶι δ', ἐγὼ Κάστωρ τε, διακρινώμεθ' ἄρηι
we-two and I Castor and let-us-decide in-war
ὁπλοτέρω γεγαῶτε. γονεῦσι δὲ μὴ πολὺ πένθος
younger being to-parents and not much grief
ἡμετέροισι λίπωμεν. ἅλις νέκυς ἐξ ἑνὸς οἴκου
to-our let-us-leave enough corpse from one house
εἷς· ἀτὰρ ὤλλοι πάντες ἐυφρανέουσιν ἑταίρους
one but the-others all will-gladden comrades
νυμφίοι ἀντὶ νεκρῶν, ὑμεναιώσουσι δὲ κούρας
bridegrooms instead-of corpses will-wed and girls
τάσδ'· ὀλίγῳ τοι ἔοικε κακῷ μέγα νεῖκος ἀναιρεῖν.
these with-little you-know befits evil great strife to-end
Εἶπε, τὰ δ' οὐκ ἄρ' ἔμελλε θεὸς μεταμώνια θήσειν.
He-spoke the but not then was-about god idle to-make
τὼ μὲν γὰρ ποτὶ γαῖαν ἀπ' ὤμων τεύχε' ἔθεντο,
the-two indeed for to earth from shoulders arms set
ὧ γενεῇ προφέρεσκον· ὁ δ' ἐς μέσον ἤλυθε Λυγκεύς,
who in-birth were-elder he and into middle came Lynceus
σείων καρτερὸν ἔγχος ὑπ' ἀσπίδος ἄντυγα πρώτην·
brandishing mighty spear under shield's rim first
ὣς δ' αὔτως ἄκρας ἐτινάξατο δούρατος ἀκμὰς
so and likewise the-tips brandished of-spear points
Κάστωρ· ἀμφοτέροις δὲ λόφων ἐπένευον ἔθειραι.
Castor both and of-crests nodded plumes

ἔγχεσι μὲν πρώτιστα τιτυσκόμενοι πόνον εἶχον
with-spears indeed first-of-all aiming toil had
ἀλλήλων, εἴ πού τι χροὸς γυμνωθὲν ἴδοιεν.
of-each-other if somewhere any of-skin bared they-might-see
ἀλλ' ἤτοι τὰ μὲν ἄκρα πάρος τινὰ δηλήσασθαι
but truly the indeed points before anyone to-harm
δοῦρ' ἐάγη, σακέεσσιν ἐνὶ δεινοῖσι παγέντα.
spears broke shields in dread fixed
τὼ δ' ἄορ ἐκ κολεοῖο ἐρυσσαμένω φόνον αὖτις
the-two and sword from sheath having-drawn slaughter again
τεῦχον ἐπ' ἀλλήλοισι· μάχης δ' οὐ γίνετ' ἐρωή.
wrought on each-other of-battle and not was respite
πολλὰ μὲν ἐς σάκος εὐρὺ καὶ ἱππόκομον τρυφάλειαν
many-times indeed onto shield broad and horse-hair-crested helmet
Κάστωρ, πολλὰ δ' ἔνυξεν ἀκριβὴς ὄμμασι Λυγκεὺς
Castor many-times and thrust keen in-eyes Lynceus
τοῖο σάκος, φοίνικα δ' ὅσον λόφον ἵκετ' ἀκωκή.
his shield crimson and as-far-as crest reached the-point
τοῦ μὲν ἄκρην ἐκόλουσεν ἐπὶ σκαιὸν γόνυ χεῖρα
of-him indeed tip he-lopped on left knee hand
φάσγανον ὀξὺ φέροντος ὑπεξαναβὰς ποδὶ Κάστωρ
sword sharp bearing stepping-aside with-foot Castor
σκαιῷ· ὁ δὲ πληγεὶς ξίφος ἔκβαλεν, αἶψα δὲ φεύγειν
left he and struck sword dropped at-once and to-flee
ὥρμήθη ποτὶ σῆμα πατρός, τόθι καρτερὸς Ἴδας
rushed to tomb of-father where mighty Idas
κεκλιμένος θηεῖτο μάχην ἐμφύλιον ἀνδρῶν.
reclining watched battle kindred of-men
ἀλλὰ μεταΐξας πλατὺ φάσγανον ὦσε διαπρὸ
but darting-after broad sword thrust through

Τυνδαρίδης λαγόνος τε καὶ ὀμφαλοῦ· ἔγκατα δ' εἴσω
son-of-Tyndareus flank both and navel entrails and within
χαλκὸς ἄφαρ διέχευεν· ὁ δ' ἐς στόμα κεῖτο νενευκὼς
bronze at-once scattered he and on mouth lay stooping
Λυγκεύς, κὰδ δ' ἄρα οἱ βλεφάρων βαρὺς ἔδραμεν ὕπνος.
Lynceus down and then his eyelids heavy ran sleep
οὐ μὰν οὐδὲ τὸν ἄλλον ἐφ' ἑστίῃ εἶδε πατρῴῃ
not indeed not-even the other at hearth saw ancestral
παίδων Λαοκόωσσα φίλον γάμον ἐκτελέσαντα.
of-sons Laocoosa dear marriage accomplishing
ἦ γὰρ ὅγε στήλην Ἀφαρηίου ἐξανέχουσαν
truly for he pillar of-Aphareus standing-up
τύμβου ἀναρρήξας ταχέως Μεσσήνιος Ἴδας
from-the-tomb tearing-up swiftly Messenian Idas
μέλλε κασιγνήτοιο βαλεῖν σφετέροιο φονῆα·
was-about of-brother to-strike his-own slayer
ἀλλὰ Ζεὺς ἐπάμυνε, χερῶν δέ οἱ ἔκβαλε τυκτὴν
but Zeus defended from-hands and his knocked-out wrought
μάρμαρον, αὐτὸν δὲ φλογέῳ συνέφλεξε κεραυνῷ.
marble himself and with-flaming burned-up thunderbolt
οὕτως Τυνδαρίδαις πολεμιζέμεν οὐκ ἐν ἐλαφρῷ.
so with-the-Tyndarids to-war not in light
αὐτοί τε κρατέοντε καὶ ἐκ κρατέοντος ἔφυσαν.
themselves both mighty and from mighty they-sprang
Χαίρετε Λήδας τέκνα, καὶ ἡμετέροις κλέος ὕμνοις
Hail of-Leda children and to-our glory hymns
ἐσθλὸν ἀεὶ πέμποιτε· φίλοι δέ τε πάντες ἀοιδοὶ
noble always may-you-send dear and — all singers
Τυνδαρίδαις Ἑλένῃ τε καὶ ἄλλοις ἡρώεσσιν,
to-the-Tyndarids to-Helen both and to-other heroes

Ἴλιον οἳ διέπερσαν ἀρήγοντες Μενελάῳ.
Ilium who sacked helping Menelaus
ὑμῖν κῦδος ἄνακτες ἐμήσατο Χῖος ἀοιδός,
for-you glory lords devised Chian singer
ὑμνήσας Πριάμοιο πόλιν καὶ νῆας Ἀχαιῶν
hymning of-Priam city and ships of-Achaeans
Ἰλιάδας τε μάχας Ἀχιλῆά τε πύργον ἀυτῆς· 220
Iliadic both battles Achilles and tower of-battle
ὑμῖν αὖ καὶ ἐγὼ λιγεῶν μειλίγματα Μουσέων,
to-you again also I of-clear soothing-gifts Muses
οἷ' αὐταὶ παρέχουσι καὶ ὡς ἐμὸς οἶκος ὑπάρχει,
such-as they-themselves provide and as my house allows
τοῖα φέρω. γεράων δὲ θεοῖς κάλλιστον ἀοιδαί.
such I-bring of-gifts and to-gods fairest songs

Ἐραστής

XXIII · THE LOVER

A cruel youth scorns a lover and rejects every advance. At the youth's door the lover bids him weep, cover his body, and write the epitaph he carves on the wall, and then hangs himself. The youth is unmoved. As he bathes at the gymnasium, the statue of Love leaps from its base into the water and kills him. The poet bids those who hate to love in return.

Ἀνήρ τις πολύφιλτρος ἀπηνέος ἤρατ' ἐφάβω,
A-man some love-sick a-harsh fell-in-love-with youth
τὰν μορφὰν ἀγαθῶ, τὸν δὲ τρόπον οὐκέθ' ὁμοίω.
in-the form good the but character no-longer alike
μίσει τὸν φιλέοντα καὶ οὐδὲ ἓν ἄμερον εἶχε,
he-hated the lover and not-even one gentle had

κοὐκ ἤδει τὸν Ἔρωτα, τίς ἦν θεός, ἡλίκα τόξα
and-not he-knew — Love what was god how-great a-bow
χερσὶ κρατεῖ, πῶς πικρὰ βέλη ποτικάρδια βάλλει·
in-hands he-holds how bitter arrows heart-wards he-casts
πάντα δὲ κὴν μύθοισι καὶ ἐν προσόδοισιν ἀτειρής.
all and both-in words and in approaches unyielding
οὐδέ τι τῶν πυρσῶν παραμύθιον, οὐκ ἀμάρυγμα
nor at-all of-the fires comfort not a-gleam
χείλεος, οὐκ ὄσσων λιπαρὸν σέλας, οὐ ῥόδα μάλων,
of-lip not of-eyes bright light not roses of-cheeks
οὐ λόγος, οὐχὶ φίλαμα, τὸ κουφίζει τὸν ἔρωτα.
not word not kiss which lightens the love
οἷα δὲ θὴρ ὑλαῖος ὑποπτεύῃσι κυναγώς,
as and beast of-the-wood suspects hunters
οὕτως πάντ' ἐποίει ποτὶ τὸν φίλον· ἄγρια δ' αὐτῷ
so all he-did to the lover savage and to-him
χείλεα καὶ κῶραι δεινὸν βλέπος· εἶχε γὰρ ὄγκον·
lips and pupils dreadful glance he-had for pride
τᾷ δὲ χολᾷ τὸ πρόσωπον ἀμείβετο, φεῦγε δ' ἀπὸ χρὼς
the and with-gall the face was-changed fled and from color
ὕβριν τᾶς ὀργᾶς περικείμενος. ἀλλὰ καὶ οὕτως
insolence of-the anger wearing but even so
ἦν καλός· ἐξ ὀργᾶς ἐρεθίζετο μᾶλλον ἐραστάς.
he-was fair from anger was-provoked more the-lover
λοίσθιον οὐκ ἤνεικε τόσαν φλόγα τᾶς Κυθερείας,
at-last not he-bore so-great flame of-the Cytherean
ἀλλ' ἐλθὼν ἔκλαιε ποτὶ στυγνοῖσι μελάθροις,
but coming he-wept at the-hateful halls
καὶ κύσε τὰν φλιάν, οὕτω δ' ἀνενείκατο φωνάν·
and kissed the doorpost so and raised voice

" Ἄγριε παῖ καὶ στυγνέ, κακᾶς ἀνάθρεμμα λεαίνας,
Savage boy and hateful of-evil nursling lioness
λάινε παῖ καὶ ἔρωτος ἀνάξιε, δῶρά τοι ἦλθον
stony boy and of-love unworthy gifts to-you I-have-come
λοίσθια ταῦτα φέρων, τὸν ἐμὸν βρόχον· οὐκέτι πὰρ σὲ
last these bringing the my noose no-longer by you
κῶρ' ἐθέλω λύπης κεχολωμένος, ἀλλὰ βαδίζω,
lad I-wish grieving angered but I-go
ἔνθα τύ μευ κατέκρινας, ὅπῃ λόγος ἦμεν ἀταρπὸν
where you me sentenced where report to-be the-path
ξυνάν, τοῖσιν ἐρῶσι τὸ φάρμακον ἔνθα τὸ λᾶθος.
common to-the lovers the remedy where the forgetting
ἀλλὰ καὶ ἢν ὅλον αὐτὸ λαβὼν ποτὶ χεῖλος ἀμέλξω,
but even if whole it taking to lip I-drain
οὐδ' οὕτως σβέσσω τὸν ἐμὸν χόλον. ἄρτι δὲ χαίρειν
not-even so shall-I-quench the my anger now and to-fare-well
τοῖσι τεοῖς προθύροις ἐπιτέλλομαι. οἶδα τὸ μέλλον.
to-the your porches I-bid I-know the future
καὶ τὸ ῥόδον καλόν ἐστι, καὶ ὁ χρόνος αὐτὸ μαραίνει·
both the rose fair is and the time it withers
καὶ τὸ ἴον καλόν ἐστιν ἐν εἴαρι, καὶ ταχὺ γηρᾷ·
and the violet fair is in spring and quickly ages
λευκὸν τὸ κρίνον ἐστί, μαραίνεται ἁνίκα πίπτῃ·
white the lily is it-withers when it-falls
ἁ δὲ χιὼν λευκά, καὶ τάκεται ἁνίκα πασθῇ.
the and snow white and melts when it-is-sprinkled
καὶ κάλλος καλόν ἐστι τὸ παιδικόν, ἀλλ' ὀλίγον ζῇ.
and beauty fair is the boyish but little-while lives
ἥξει καιρὸς ἐκεῖνος, ὁπανίκα καὶ τὺ φιλάσεις,
will-come time that when even you will-love

ἀνίκα τὰν κραδίαν ὀπτεύμενος ἁλμυρὰ κλαύσῃ.
when the heart being-roasted salt-tears you-weep
ἀλλὰ τὺ παῖ καὶ τοῦτο πανύστατον ἁδύ τι ῥέξον·
but you boy also this last sweet some do
ὁππόταν ἐξενθὼν ἠρτημένον ἐν προθύροισι
when coming-out hanged in porches
τοῖσι τεοῖσιν ἴδῃς τὸν τλάμονα, μή με παρένθῃς,
the your you-see the wretch not me pass-by
στᾶθι δὲ καὶ βραχὺ κλαῦσον, ἐπισπείσας δὲ τὸ δάκρυ
stand and also briefly weep pouring and the tear
λῦσον τῶ σχοίνω με καὶ ἀμφίθες ἐκ ῥεθέων σῶν
loose from-the rope me and put-round from limbs your
εἵματα καὶ κρύψόν με, τὸ δ' αὖ πύματόν με φίλασον,
clothes and cover me the and again last me kiss
κἂν νεκρῷ χάρισαι τὰ σὰ χείλεα. μή με φοβαθῇς·
even to-a-dead grant the your lips not me fear
οὐ δύναμαι λυπεῖν σε, διαλλάξεις με φιλάσας.
not I-can to-grieve you you-will-reconcile me kissing
χῶμα δέ μοι χῶσόν τι ὅ μευ κρύψει τὸν ἔρωτα.
mound and for-me heap some which my will-hide the love
κἂν ἀπίῃς, τόδε μοι τρὶς ἐπαίασον· ὦ φίλε κεῖσαι.
and-if you-go-away this to-me thrice cry-over O friend you-lie
ἢν δὲ θέλῃς, καὶ τοῦτο· καλὸς δέ μοι ὤλεθ' ἑταῖρος.
if and you-wish also this fair and to-me perished comrade
γράψον καὶ τόδε γράμμα, τὸ σοῖς τοίχοισι χαράξω·
write also this inscription which on-your walls I-will-carve
'τοῦτον ἔρως ἔκτεινεν. ὁδοιπόρε, μὴ παροδεύσῃς,'
this-one love killed wayfarer not pass-by
'ἀλλὰ στὰς τόδε λέξον· ἀπηνέα εἶχεν ἑταῖρον.'"
but standing this say a-harsh he-had comrade

Ὣδ᾽ εἰπὼν λίθον εἷλκεν, ἐρεισάμενος δ᾽ ἐπὶ τοίχῳ
So speaking a-stone he-dragged propping and against wall
ἄχρι μέσων οὐδῶν φοβερὸν λίθον ἅπτετ᾽ ἀπ᾽ αὐτῶν,
up-to middle threshold dread stone fastened from them
τὰν λεπτὰν σχοινῖδα, βρόχον δ᾽ ἐνέβαλλε τραχήλῳ,
the thin cord noose and threw-on neck
τὰν ἕδραν δ᾽ ἐκύλισεν ὑπὲκ ποδός, ἠδ᾽ ἐκρεμάσθη
the stool and rolled from-under foot and hung
νεκρός. ὁ δ᾽ αὖτ᾽ ὤιξε θύρας καὶ τὸν νεκρὸν εἶδεν
dead he and in-turn opened doors and the dead saw
αὐλᾶς ἐξ ἰδίας ἠρτημένον, οὐδ᾽ ἐλυγίχθη
court from his-own hanged nor was-bent
τὰν ψυχάν, οὐ κλαῦσε νέον φόνον, ἀλλ᾽ ἐπὶ νεκρῷ
the soul not wept-for fresh murder but on the-dead
εἵματα πάντ᾽ ἐμίανεν, ἐφαβικὰ βαῖνε δ᾽ ἐς ἄθλα
clothes all defiled youthful went and to games
γυμναστῶν, καὶ τῆλε φίλων ἐπεμαίετο λουτρῶν,
of-gymnasts and far beloved sought baths
καὶ ποτὶ τὸν θεὸν ἦλθε, τὸν ὕβρισε· λαϊνέας δὲ
and to the god came whom he-insulted of-stone and
ἵστατ᾽ ἀπὸ κρηπῖδος ἐς ὕδατα· τῷ δ᾽ ἐφύπερθεν
he-stood from base into waters him and from-above
ἅλατο καὶ τᾠγαλμα, κακὸν δ᾽ ἔκτεινεν ἔφαβον·
leapt and the-statue evil and killed the-youth
ναμα δ᾽ ἐφοινίχθη· παιδὸς δ᾽ ἐπενάχετο σῶμα.
the-stream and was-reddened of-the-boy and floated body
χαίρετε τοὶ φιλέοντες· ὁ γὰρ μισῶν ἐφονεύθη.
farewell the lovers he for hating was-slain
στέργετε δ᾽ οἱ μισεῦντες· ὁ γὰρ θεὸς οἶδε δικάζειν.
love and the haters the for god knows to-judge

Ἡρακλίσκος

XXIV · THE INFANT HERACLES

Alcmena lays her twin sons in a shield to sleep. At midnight Hera sends two serpents. Iphicles shrieks, but the ten-month-old Heracles strangles them and shows them, laughing, to Amphitryon. Teiresias foretells Heracles' labors and deification and orders the serpents burned. The poem then recounts the boy's training in letters, archery, music, wrestling, chariots, and war.

Ἡρακλέα δεκάμηνον ἐόντα πόχ' ἁ Μιδεᾶτις
Heracles ten-months-old being once the Midean
Ἀλκμήνα καὶ νυκτὶ νεώτερον Ἰφικλῆα,
Alcmena and by-a-night younger Iphicles
ἀμφοτέρους λούσασα καὶ ἐμπλήσασα γάλακτος,
both having-washed and having-filled with-milk
χαλκείαν κατέθηκεν ἐς ἀσπίδα, τὰν Πτερελάου
bronze laid into shield the of-Pterelaus
Ἀμφιτρύων καλὸν ὅπλον ἀπεσκύλευσε πεσόντος.
Amphitryon fine arms had-stripped fallen
ἅπτομένα δὲ γυνὰ κεφαλᾶς μυθήσατο παίδων·
touching and the-woman the-head spoke of-the-children
"εὕδετ' ἐμὰ βρέφεα γλυκερὸν καὶ ἐγέρσιμον ὕπνον,
sleep my babes sweet and waking sleep
εὕδετ' ἐμὰ ψυχά, δύ' ἀδελφεώ, εὔσοα τέκνα·
sleep my soul two brothers safe children
ὄλβιοι εὐνάζοισθε καὶ ὄλβιοι ἀὼ ἵκοισθε."
blessed may-you-sleep and blessed dawn may-you-reach
Ὣς φαμένα δίνασε σάκος μέγα· τοὺς δ' ἔλαβ' ὕπνος.
So saying she-rocked the-shield great them and took sleep
ἅμος δὲ στρέφεται μεσονύκτιον ἐς δύσιν ἄρκτος
when and turns at-midnight to setting the-Bear

Ὠρίωνα κατ᾽ αὐτόν, ὁ δ᾽ ἀμφαίνει μέγαν ὦμον,
Orion opposite him he and shows great shoulder
τᾶμος ἄρ᾽ αἰνὰ πέλωρα δύω πολυμήχανος Ἥρη
then then dread monsters two resourceful Hera
κυανέαις φρίσσοντας ὑπὸ σπείραισι δράκοντας
dark bristling under coils serpents
ὦρσεν ἐπὶ πλατὺν οὐδόν, ὅθι σταθμὰ κοῖλα θυράων
roused to broad threshold where posts hollow of-the-doors
εἶκεν, ἀπειλήσασα φαγεῖν βρέφος Ἡρακλῆα.
gave-way threatening to-devour babe Heracles
τὼ δ᾽ ἐξειληθέντες ἐπὶ χθονὶ γαστέρας ἄμφω
they-two and uncoiling on ground bellies both
αἱμοβόρους ἐκύλιον· ἀπ᾽ ὀφθαλμῶν δὲ κακὸν πῦρ
blood-devouring rolled from eyes and evil fire
ἐρχομένοις λάμπεσκε, βαρὺν δ᾽ ἐξέπτυον ἰόν.
coming shone heavy and spat-out venom
ἀλλ᾽ ὅτε δὴ παίδων λιχμώμενοι ἐγγύθεν ἦνθον,
but when indeed the-children flicking-tongues near they-came
καὶ τότ᾽ ἄρ᾽ ἐξέγροντο, Διὸς νοέοντος ἅπαντα,
even then then woke of-Zeus perceiving all
Ἀλκμήνας φίλα τέκνα, φάος δ᾽ ἀνὰ οἶκον ἐτύχθη.
of-Alcmena dear children light and through house arose
ἤτοι ὅγ᾽ εὐθὺς ἄυσεν, ὅπως κακὰ θηρί᾽ ἀνέγνω
truly he at-once shrieked as the-evil beasts he-perceived
κοίλου ὑπὲρ σάκεος καὶ ἀναιδέας εἶδεν ὀδόντας,
hollow over shield and shameless saw teeth
Ἰφικλέης, οὔλαν δὲ ποσὶν διελάκτισε χλαῖναν,
Iphicles woolly and with-feet kicked-off blanket
φευγέμεν ὁρμαίνων· ὁ δ᾽ ἐναντίος εἶχετο χερσὶν
to-flee striving he and opposite held-on with-hands

Ἡρακλέης, ἄμφω δὲ βαρεῖ ἐνεδήσατο δεσμῷ,
Heracles both and in-heavy bound bond
δραξάμενος φάρυγος, τόθι φάρμακα λυγρὰ κέκρυπται
gripping by-the-throat where poisons baneful are-hidden
οὐλομένοις ὀφίεσσιν, ἃ καὶ θεοὶ ἐχθαίροντι.
in-deadly snakes which even gods hate
τὼ δ' αὖτε σπείραισιν ἑλισσέσθην περὶ παῖδα
they-two and again in-coils wound round the-child
ὀψίγονον γαλαθηνόν, ὑπὸ τροφῷ αἰὲν ἄδακρυν·
late-born suckling under nurse always tearless
ἂψ δὲ πάλιν διέλυον ἐπεὶ μογέοιεν ἀκάνθας,
back and again loosened since they-were-wearied of-the-spine
δεσμοῦ ἀναγκαίου πειρώμενοι ἔκλυσιν εὑρεῖν.
of-the-bond strict trying release to-find
Ἀλκμήνα δ' ἐσάκουσε βοᾶς καὶ ἐπέγρετο πράτα·
Alcmena and heard the-cry and woke first
" Ἄνσταθ' Ἀμφιτρύων· ἐμὲ γὰρ δέος ἴσχει ὀκνηρόν·
Rise Amphitryon me for fear holds cowering
ἄνστα, μηδὲ πόδεσσιν ἑοῖς ὑπὸ σάνδαλα θείῃς.
rise nor on-feet your under sandals put
οὐκ ἀίεις, παίδων ὁ νεώτερος ὅσσον ἀυτεῖ;
not do-you-hear of-the-children the younger how-loud he-cries
ἢ οὐ νοέεις, ὅτι νυκτὸς ἀωρί που, οἱ δέ τε τοῖχοι
or not do-you-perceive that of-the-night at-dead-of surely the and — walls
πάντες ἀριφραδέες, καθαρᾶς ἅπερ ἠριγενείας;
all clear-seen of-bright as early-dawn
ἔστί τί μοι κατὰ δῶμα νεώτερον, ἔστι φίλ' ἀνδρῶν."
there-is something to-me in the-house strange there-is dear of-men
Ὣς φάθ'. ὁ δ' ἐξ εὐνᾶς ἀλόχῳ κατέβαινε πιθήσας·
So she-spoke he and from bed to-his-wife went-down obeying

δαιδάλεον δ᾽ ὥρμασε μετὰ ξίφος, ὅ οἱ ὕπερθεν
cunning and rushed after sword which for-him above
κλιντῆρος κεδρίνου περὶ πασσάλῳ αἰὲν ἄωρτο.
bed of-cedar on peg always hung
ἤτοι ὅγ᾽ ὠριγνᾶτο νεοκλώστου τελαμῶνος,
truly he reached-for new-spun baldric
κουφίζων ἑτέρᾳ κολεὸν μέγα, λώτινον ἔργον.
lifting with-the-other scabbard great of-lotus-wood work
ἀμφιλαφὴς δ᾽ ἄρα παστὰς ἐνεπλήσθη πάλιν ὄρφνας·
wide and then chamber was-filled again with-darkness
δμῶας δὴ τότ᾽ ἄυσεν ὕπνον βαρὺν ἐκφυσῶντας·
servants indeed then he-shouted sleep heavy breathing-out
"οἴσετε πῦρ ὅτι θᾶσσον ἀπ᾽ ἐσχαρεῶνος ἑλόντες,
bring fire as quick from hearth taking
δμῶες ἐμοί, στιβαροὺς δὲ θυρᾶν ἀνακόψατ᾽ ὀχῆας."
servants mine stout and of-the-doors push-back bolts
"ἄνστατε δμῶες ταλασίφρονες. αὐτὸς ἀυτεῖ."
rise servants stout-hearted himself calls
Ἦ ῥα γυνὰ Φοίνισσα μύλαις ἔπι κοῖτον ἔχουσα.
Spoke then a-woman Phoenician the-mills by bed having
οἱ δ᾽ αἶψα προγένοντο λύχνοις ἅμα δαιομένοισι
they and at-once came-forth with-lamps together burning
δμῶες· ἐνεπλήσθη δὲ δόμος σπεύδοντος ἑκάστου.
servants was-filled and the-house hastening each
ἤτοι ἄρ᾽ ὡς εἶδον᾽ ἐπιτίτθιον Ἡρακλῆα
truly then when they-saw the-suckling Heracles
θῆρε δύω χείρεσσιν ἀπρὶξ ἁπαλαῖσιν ἔχοντα,
beasts two with-hands fast tender holding
συμπλήγδην ἰάχησαν· ὁ δ᾽ ἐς πατέρ᾽ Ἀμφιτρύωνα
together they-cried he and to father Amphitryon

ἑρπετὰ δεικανάασκεν, ἐπάλλετο δ' ὑψόθι χαίρων
the-reptiles showed leapt and on-high rejoicing
κουροσύνᾳ, γελάσας δὲ πάρος κατέθηκε ποδοῖιν
in-childishness laughing and before laid at-the-feet
πατρὸς ἑοῦ θανάτῳ κεκαρωμένα δεινὰ πέλωρα.
of-father his in-death stupefied dread monsters
Ἀλκμήνα μὲν ἔπειτα ποτὶ σφέτερον βάλε κόλπον
Alcmena indeed then to her-own cast bosom
ξηρὸν ὑπαὶ δείους ἀκρόχλοον Ἰφικλῆα·
dry under fear pale Iphicles
Ἀμφιτρύων δὲ τὸν ἄλλον ὑπ' ἀμνείαν θέτο χλαῖναν
Amphitryon and the other under lambswool put blanket
παῖδα, πάλιν δ' ἐς λέκτρον ἰὼν ἐμνάσατο κοίτου.
the-child again and to bed going was-mindful of-sleep
ὄρνιθες τρίτον ἄρτι τὸν ἔσχατον ὄρθρον ἄειδον·
birds the-third just the last dawn were-singing
Τειρεσίαν τόκα μάντιν ἀλαθέα πάντα λέγοντα
Teiresias then seer true all saying
Ἀλκμήνα καλέσασα τέρας κατέλεξε νεοχμόν,
Alcmena having-called portent recounted new
καί νιν ὑποκρίνεσθαι, ὅπως τελέεσθαι ἔμελλεν,
and him to-interpret how to-be-fulfilled it-was-about
ἠνώγει. "μηδ' εἴ τι θεοὶ νοέοντι πονηρόν,
bade nor if anything gods intend wicked
αἰδόμενος σύ με κρύπτε· καὶ ὣς οὐκ ἔστιν ἀλύξαι
respecting you me hide even so not it-is to-escape
ἀνθρώποις ὅ τι Μοῖρα κατὰ κλωστῆρος ἐπείγει.
for-men what any Fate by spindle hastens
ἀλλ' Εὐηρείδα μάλα σε φρονέοντα διδάσκω."
but son-of-Eueres very you wise I-teach

Τόσσ᾽ ἔλεγεν βασίλεια· ὁ δ᾽ ἀνταμείβετο τοίως·
So-much spoke the-queen he and answered thus
"θάρσει ἀριστοτόκεια γύναι, Περσήιον αἷμα.
take-heart mother-of-the-best woman Persean blood
θάρσει· μελλόντων δὲ τὸ λώιον ἐν φρεσὶ θέσθαι.
take-heart of-things-to-come and the better in mind to-place
ναὶ γὰρ ἐμὸν γλυκὺ φέγγος ἀποιχόμενον πάλαι ὄσσων,
yes for by-my sweet light gone long-ago from-eyes
πολλαὶ Ἀχαιάδων μαλακὸν περὶ γούνατι νῆμα
many of-Achaean-women soft round knee yarn
χειρὶ κατατρίψοντι ἀκρέσπερον ἀείδοισαι
with-hand will-card at-evening singing
Ἀλκμήναν ὀνομαστί, σέβας δ᾽ ἔσῃ Ἀργείαισι.
Alcmena by-name reverence and you-will-be to-Argive-women
τοῖος ἀνὴρ ὅδε μέλλει ἐς οὐρανὸν ἄστρα φέροντα
such man this is-about to heaven stars bearing
ἀμβαίνειν τεὸς υἱός, ἀπὸ στέρνων πλατὺς ἥρως,
to-ascend your son from breast broad hero
οὗ καὶ θηρία πάντα καὶ ἀνέρες ἥσσονες ἄλλοι.
than-whom both beasts all and men weaker others
δώδεκά οἱ τελέσαντι πεπρωμένον ἐν Διὸς οἰκεῖν
twelve for-him having-accomplished it-is-fated in of-Zeus to-dwell
μόχθους, θνητὰ δὲ πάντα πυρὰ Τραχίνιος ἑξεῖ.
labors mortal and all pyre Trachinian will-have
γαμβρὸς δ᾽ ἀθανάτων κεκλήσεται, οἳ τάδ᾽ ἐπῶρσαν
son-in-law and of-immortals he-will-be-called who these roused
κνώδαλα φωλεύοντα βρέφος διαδηλήσασθαι.
beasts lurking the-babe to-destroy
ἔσται δὴ τοῦτ᾽ ἦμαρ, ὁπηνίκα νεβρὸν ἐν εὐνᾷ
there-will-be indeed this day when fawn in bed

καρχαρόδων σίνεσθαι ἰδὼν λύκος οὐκ ἐθελήσει.
jagged-toothed to-harm seeing wolf not will-wish
ἀλλὰ γύναι πῦρ μέν τοι ὑπὸ σποδῷ εὔτυκον ἔστω,
but woman fire indeed for-you under ash ready let-it-be
κάγκανα δ' ἀσπαλάθου ξύλ' ἑτοιμάσατ' ἢ παλιούρου
dry and of-camel-thorn wood prepare or of-thorn-bush
ἢ βάτου ἢ ἀνέμῳ δεδονημένον αὖον ἄχερδον·
or of-bramble or by-wind shaken dry wild-pear
καῖε δὲ τώδ' ἀγρίαισιν ἐπὶ σχίζαισι δράκοντε
burn and these wild on logs two-serpents
νυκτὶ μέσᾳ, ὅκα παῖδα κανεῖν τεὸν ἤθελον αὐτοί.
at-night mid when the-boy to-kill your they-wished themselves
ἦρι δὲ συλλέξασα κόνιν πυρὸς ἀμφιπόλων τις
at-morning and gathering the-ash of-the-fire of-the-maids some
ῥιψάτω εὖ μάλα πᾶσαν ὑπὲρ ποταμοῖο φέρουσα
let-her-cast well very all over the-river carrying
ῥωγάδας ἐς πέτρας ὑπερούριον, ἂψ δὲ νέεσθαι
craggy to rocks beyond-the-border back and to-return
ἄστρεπτος· καθαρῷ δὲ πυρώσατε δῶμα θείῳ
without-turning with-pure and fumigate the-house sulfur
πρῶτον, ἔπειτα δ' ἅλεσσι μεμιγμένον, ὡς νενόμισται,
first then and with-salt mixed as is-customary
θαλλῷ ἐπιρραίνειν ἐστεμμένῳ ἀβλαβὲς ὕδωρ·
with-a-branch to-sprinkle wreathed harmless water
Ζηνὶ δ' ἐπιρρέξαι καθυπερτέρῳ ἄρσενα χοῖρον,
to-Zeus and to-sacrifice most-high male boar
δυσμενέων αἰεὶ καθυπέρτεροι ὡς τελέθοιτε."
of-foes always most-high that you-may-be
Φᾶ, καὶ ἐρωήσας ἐλεφάντινον ᾤχετο δίφρον
He-spoke and pushing-back ivory went chair

Τειρεσίας πολλοῖσι βαρύς περ ἐὼν ἐνιαυτοῖς.
Teiresias with-many heavy though being years
Ἡρακλέης δ' ὑπὸ ματρὶ νέον φυτὸν ὣς ἐν ἀλωᾷ
Heracles and under mother young plant like in vineyard
ἐτρέφετ' Ἀργείου κεκλημένος Ἀμφιτρύωνος.
was-reared of-Argive called Amphitryon
γράμματα μὲν τὸν παῖδα γέρων Λίνος ἐξεδίδαξεν,
letters indeed the boy old Linus taught
υἱὸς Ἀπόλλωνος μελεδωνεὺς ἄγρυπνος ἥρως,
son of-Apollo guardian sleepless hero
τόξον δ' ἐντανύσαι καὶ ἐπίσκοπον εἶναι ὀϊστῶν
bow and to-bend and good-aimer to-be of-arrows
Εὔρυτος ἐκ πατέρων μεγάλαις ἀφνειὸς ἀρούραις.
Eurytus from fathers in-great wealthy fields
αὐτὰρ ἀοιδὸν ἔθηκε καὶ ἄμφω χεῖρας ἔπλασσε
but singer made and both hands molded
πυξίνᾳ ἐν φόρμιγγι Φιλαμμονίδας εὔμολπος.
boxwood on lyre son-of-Philammon sweet-singer
ὅσσα δ' ἀπὸ σκελέων ἑδροστρόφοι Ἀργόθεν ἄνδρες
as-many-as and from legs hip-throwing from-Argos men
ἀλλάλους σφάλλοντι παλαίσμασιν, ὅσσά τε πύκται
each-other trip with-holds as-many-as and boxers
δεινοὶ ἐν ἱμάντεσσιν, ἃ τ' ἐς γαῖαν προπεσόντες
dread in thongs which and into earth falling-forward
πάμμαχοι ἐξεύροντο σοφίσματα σύμφορα τέχνᾳ,
all-in-fighters devised tricks useful to-the-art
πάντ' ἔμαθ' Ἑρμείαο διδασκόμενος παρὰ παιδὶ
all learned of-Hermes being-taught by the-son
Ἁρπαλύκῳ Φανοτῆι, τὸν οὐδ' ἂν τηλόθι λεύσσων
Harpalycus of-Panopeus whom not-even — from-afar seeing

θαρσαλέως τις ἔμεινεν ἀεθλεύοντ᾽ ἐν ἀγῶνι·
boldly anyone would-have-awaited contending in contest
τοῖον ἐπισκύνιον βλοσυρῷ ἐπέκειτο προσώπῳ.
such brow grim lay-on face
ἵππους δ᾽ ἐξελάσασθαι ὑφ᾽ ἅρματι, καὶ περὶ νύσσαν
horses and to-drive under chariot and round turning-post
ἀσφαλέως κάμπτοντα τροχῷ σύριγγα φυλάξαι,
safely bending with-the-wheel nave to-guard
Ἀμφιτρύων ὃν παῖδα φίλα φρονέων ἐδίδαξεν
Amphitryon his son kindly minded taught
αὐτός, ἐπεὶ μάλα πολλὰ θοῶν ἐξήρατ᾽ ἀγώνων
himself since very many swift won contests
Ἄργει ἐν ἱπποβότῳ κειμήλια, καί οἱ ἀαγεῖς
Argos in horse-pasturing heirlooms and his unbroken
δίφροι, ἐφ᾽ ὧν ἐπέβαινε, χρόνῳ διέλυσαν ἱμάντας.
chariots on which he-mounted with-time loosened thongs
δούρατι δὲ προβολαίῳ ὑπ᾽ ἀσπίδι ὦμον ἔχοντα
with-spear and couched under shield shoulder holding
ἀνδρὸς ὀρέξασθαι ξιφέων τ᾽ ἀνέχεσθαι ἀμυχμόν,
of-man to-reach of-swords and to-endure slash
κοσμῆσαί τε φάλαγγα λόχον τ᾽ ἀναμετρήσασθαι
to-marshal and phalanx ambush and to-measure
δυσμενέων ἐπιόντα καὶ ἱππήεσσι κελεῦσαι
of-foes advancing and horsemen to-command
Κάστωρ Ἱππαλίδας δέδαεν, φυγὰς Ἄργεος ἐνθών,
Castor son-of-Hippalus taught an-exile from-Argos come
ὁππόκα κλᾶρον ἅπαντα καὶ οἰνόπεδον μέγα Τυδεὺς
when estate all and vineyard great Tydeus
ναῖε παρ᾽ Ἀδρήστοιο λαβὼν ἱππήλατον Ἄργος.
dwelt from Adrastus having-received horse-driving Argos

Κάστορι δ᾽ οὔτις ὁμοῖος ἐν ἡμιθέοις πολεμιστὴς
to-Castor and no-one like among demigods warrior
ἄλλος ἔην πρὶν γῆρας ἀποτρῦψαι νεότητα.
other was before age to-wear-out youth
Ὧδε μὲν Ἡρακλῆα φίλα παιδεύσατο μάτηρ.
So indeed Heracles dear educated mother
εὐνὰ δ᾽ ἦς τῷ παιδὶ τετυγμένα ἀγχόθι πατρὸς
bed and was for-the boy made near father
δέρμα λεόντειον μάλα οἱ κεχαρισμένον αὐτῷ,
skin of-lion very for-him pleasing himself
δεῖπνον δὲ κρέα τ᾽ ὀπτὰ καὶ ἐν κανέῳ μέγας ἄρτος
dinner and meat both roasted and in basket great loaf
Δωρικός· ἀσφαλέως κε φυτοσκάφον ἄνδρα κορέσσαι.
Dorian surely — a-digging man would-satisfy
αὐτὰρ ἐπ᾽ ἄματι τυννὸν ἄνευ πυρὸς αἴνυτο δόρπον.
but at day little without fire he-took supper
εἵματα δ᾽ οὐκ ἀσκητὰ μέσας ὑπὲρ ἔννυτο κνάμας.
clothes and not elaborate middle above wore shins

Ἡρακλῆς Λεοντοφόνος

XXV · HERACLES THE LION-SLAYER

An old plowman guides a stranger, Heracles, to the vast herds of Augeas. When the champion bull Phaethon charges at his lion skin, Heracles forces it to the ground. Walking to town, Phyleus, son of Augeas, asks him about the lion of Nemea. Heracles tells how his arrows glanced off it, how he stunned it with his club and throttled it, and how he flayed it with its own claws.

Τὸν δ' ὁ γέρων προσέειπε φυτῶν ἐπίουρος ἀροτρεὺς
Him and the old-man addressed of-plants guardian plowman
παυσάμενος ἔργοιο, τό οἱ μετὰ χερσὶν ἔκειτο·
ceasing from-work which for-him in hands lay
" Ἔκ τοι ξεῖνε πρόφρων μυθήσομαι ὅσσ' ἐρεείνεις,
Fully to-you stranger gladly I-will-tell as-many-as you-ask
Ἑρμέω ἁζόμενος δεινὴν ὄπιν εἰνοδίοιο·
of-Hermes reverencing dread wrath of-the-wayside
τὸν γάρ φασι μέγιστον ἐπουρανίων κεχολῶσθαι,
him for they-say most of-the-heavenly to-be-angered
εἴ κεν ὁδοῦ ζαχρεῖον ἀνήνηταί τις ὁδίτην.
if — of-the-way needing should-refuse anyone a-wayfarer
ποῖμναι μὲν βασιλῆος εὔτριχες Αὐγείαο
flocks indeed of-the-king fair-fleeced of-Augeas
οὐ πᾶσαι βόσκονται ἴαν βόσιν οὐδ' ἕνα χῶρον·
not all graze one pasture nor one place
ἀλλ' αἱ μέν ῥα νάοντος ἐπ' ὄχθαις ἀμφ' Ἐλισοῦντος,
but some indeed then of-flowing on banks around Elisus
αἱ δ' ἱερὸν θείοιο παρὰ ῥόον Ἀλφειοῖο,
some and sacred of-divine by stream Alpheus
αἱ δ' ἐπὶ Βουπρασίου πολυβότρυος, αἱ δὲ καὶ ὧδε.
some and on Buprasium rich-in-grapes some and also here

χωρὶς δὴ σηκοί σφι τετυγμένοι εἰσὶν ἑκάσταις.
apart indeed folds for-them built are for-each
αὐτὰρ βουκολίοισι περιπλήθουσί περ ἔμπης
but for-the-herds abounding though nevertheless
πάντεσσιν νομοὶ ὧδε τεθηλότες αἰὲν ἔασι,
for-all pastures here blooming always are
Μηνίου ἀμμέγα τῖφος, ἐπεὶ πολυειδέα ποίην
of-Menius great marsh since many-kinded grass
λειμῶνες θαλέθουσιν ὑπόδροσοι εἰαμεναί τε
meadows bloom dewy low-lying and
εἰς ἅλις, ἥ ῥα βόεσσι μένος κεραῇσιν ἀέξει.
to plenty which then for-cattle strength horned increases
αὖλις δέ σφισιν ἥδε τεῆς ἐπὶ δεξιὰ χειρὸς
stable and for-them this your on right hand
φαίνεται εὖ μάλα πᾶσα πέρην ποταμοῖο ῥέοντος,
appears well very all beyond river flowing
κείνῃ, ὅθι πλατάνιστοι ἐπηεταναὶ πεφύασι
there where plane-trees perennial grow
χλωρή τ' ἀγριέλαιος, Ἀπόλλωνος νομίοιο
green and wild-olive of-Apollo of-the-pastures
ἱερὸν ἀγνόν, ξεῖνε, τελειοτάτοιο θεοῖο.
sacred holy stranger of-most-perfect god
εὐθὺς δὲ σταθμοὶ περιμήκεες ἀγροιώταις
straight and steadings very-long for-countrymen
δέδμηνθ', οἳ βασιλῆι πολὺν καὶ ἀθέσφατον ὄλβον
are-built who for-the-king much and boundless wealth
ῥυόμεθ' ἐνδυκέως, τριπόλοις σπόρον ἐν νειοῖσιν
we-guard carefully thrice-plowed seed in fallows
ἔσθ' ὅτε βάλλοντες καὶ τετραπόλοισιν ὁμοίως.
there-are when casting also in-four-times-plowed alike

οὔρους μὴν ἴσασι φυτοσκάφοι οἱ πολύεργοι,
the-bounds indeed know plant-diggers the much-toiling
ἐς ληνοὺς δ' ἱκνεῦνται, ἐπὴν θέρος ὥριον ἔλθῃ.
to wine-presses and come when summer ripe comes
πᾶν γὰρ δὴ πεδίον τόδ' ἐπίφρονος Αὐγείαο,
all for indeed plain this of-wise Augeas
πυροφόροι τε γύαι καὶ ἀλωαὶ δενδρήεσσαι,
wheat-bearing both fields and orchards wooded
μέχρις ἐπ' ἐσχατιὰς πολυπίδακος ἀκρωρείης,
as-far-as to borders of-many-fountained ridge
ἃς ἡμεῖς ἔργοισιν ἐποιχόμεθα πρόπαν ἦμαρ,
which we with-works go-about all day
ἢ δίκη οἰκήων, οἷσιν βίος ἔπλετ' ἐπ' ἀγροῦ.
as the-way of-servants whose life is on the-land
ἀλλὰ σύ πέρ μοι ἔνισπε, τό τοι καὶ κέρδιον αὐτῷ
but you though to-me tell what to-you also more-profitable yourself
ἔσσεται, οὕτινος ὧδε κεχρημένος εἰλήλουθας,
will-be of-whom here having-need you-have-come
ἠὲ σύγ' Αὐγείην ἢ καὶ δμώων τινὰ κείνου
whether you Augeas or also of-servants some his
δίζεαι, οἵ οἱ ἔασιν. ἐγὼ δέ κέ τοι σάφα εἰδὼς
seek who his are I and — to-you clearly knowing
ἀτρεκέως εἴποιμ', ἐπεὶ οὐ σέγε φημὶ κακῶν ἔξ
truly might-tell since not you I-say the-base from
ἔμμεναι οὐδὲ κακοῖσιν ἐοικότα φύμεναι αὐτόν,
to-be nor to-the-base like to-be-born yourself
οἷόν τοι μέγα εἶδος ἐπιπρέπει. ἦ ῥά νυ παῖδες
such to-you great form shines truly then now children
ἀθανάτων τοιοῖδε μετὰ θνητοῖσιν ἔασι."
of-immortals such among mortals are

Τὸν δ' ἀπαμειβόμενος προσέφη Διὸς ἄλκιμος υἱός.
Him and answering addressed of-Zeus valiant son
"ναὶ γέρον Αὐγείην ἐθέλοιμί κεν ἀρχὸν Ἐπειῶν
yes old-man Augeas I-would-wish — the-leader of-the-Epeians
εἰσιδέειν· τοῦ γάρ με καὶ ἤγαγεν ἐνθάδε χρειώ.
to-see him for me also brought here need
εἰ δ' ὁ μὲν ἂρ κατὰ ἄστυ μένει παρὰ οἷσι πολίταις
if but he indeed then in town stays with his citizens
δήμου κηδόμενος, διὰ δὲ κρίνουσι θέμιστας,
the-people caring-for through and decide judgments
δμώων δή τινα πρέσβυ σύ μοι φράσον ἡγεμονεύσας,
of-servants indeed some old-man you to-me show guiding
ὅστις ἐπ' ἀγρῶν τῶνδε γεραίτερος αἰσυμνήτης,
whoever over fields these elder overseer
ᾧ κε τὸ μὲν εἴποιμι, τὸ δ' ἐκ φαμένοιο πυθοίμην.
to-whom — the indeed I-may-say the and from speaking I-may-learn
ἄλλου δ' ἄλλον ἔθηκε θεὸς ἐπιδευέα φωτῶν."
of-another and another made god in-need of-men
Τὸν δ' ὁ γέρων ἐξαῦτις ἀμείβετο δῖος ἀροτρεύς·
Him and the old-man in-turn answered noble plowman
" Ἀθανάτων ὦ ξεῖνε φραδῇ τινος ἐνθάδ' ἱκάνεις,
Of-immortals O stranger by-the-guidance of-some here you-come
ὥς τοι πᾶν ὃ θέλεις αἶψα χρέος ἐκτετέλεσται.
so-that to-you all what you-wish at-once need is-accomplished
ὧδε γὰρ Αὐγείης, υἱὸς φίλος Ἠελίοιο,
here for Augeas son dear of-Helios
σφωιτέρῳ σὺν παιδί, βίῃ Φυλῆος ἀγαυοῦ,
his-own with son the-might of-Phyleus noble
χθιζός γ' εἰλήλουθεν ἀπ' ἄστεος, ἤμασι πολλοῖς
yesterday indeed has-come from the-town in-days many

κτῆσιν ἐποψόμενος, ἥ οἱ νήριθμος ἐπ᾽ ἀγρῶν·
possessions to-oversee which to-him countless on the-fields
ὥς που καὶ βασιλεῦσιν ἐείδεται ἐν φρεσὶν ἧσιν
as perhaps also to-kings seems in minds their
αὐτοῖς κηδομένοισι σαώτερος ἔμμεναι οἶκος.
themselves caring safer to-be the-house
ἀλλ᾽ ἴομεν μάλα πρός μιν· ἐγὼ δέ τοι ἡγεμονεύσω
but let-us-go very to him I and you will-guide
αὖλιν ἐφ᾽ ἡμετέρην, ἵνα κεν τέτμοιμεν ἄνακτα."
stable to our that — we-may-find the-lord
Ὣς εἰπὼν ἡγεῖτο, νόῳ δ᾽ ἔτι πόλλ᾽ ἐμενοίνα,
So speaking he-led in-mind and still much pondered
δέρμά τε θηρὸς ὁρῶν χειροπληθῆ τε κορύνην,
skin both of-a-beast seeing hand-filling and club
ὁππόθεν ὁ ξεῖνος· μέμονεν δέ μιν αἰὲν ἔρεσθαι·
whence the stranger he-longed and him always to-ask
ἂψ δ᾽ ὄκνῳ ποτὶ χεῖλος ἐλάμβανε μῦθον ἰόντα,
back and in-hesitation at lip he-caught word going
μή τί οἱ οὐ κατὰ καιρὸν ἔπος προτιμυθήσαιτο,
lest anything to-him not in season word he-might-say
σπερχομένου· χαλεπὸν δ᾽ ἑτέρου νόον ἴδμεναι ἀνδρός.
hastening hard and of-another mind to-know man
τοὺς δὲ κύνες προσιόντας ἀπόπροθεν αἶψ᾽ ἐνόησαν,
them and dogs approaching from-afar at-once noticed
ἀμφότερον ὀσμῇ τε χροὸς δούπῳ τε ποδοῖιν.
both by-smell both of-skin by-tramp and of-feet
θεσπέσιον δ᾽ ὑλάοντες ἐπέδραμον ἄλλοθεν ἄλλος
terribly and barking ran-at from-one-side another
Ἀμφιτρυωνιάδῃ Ἡρακλέι· τὸν δὲ γέροντα
at-the-son-of-Amphitryon Heracles the and old-man

ἀχρεῖον κλάζοντε περίσσαινον ἑτέρωθεν.
idly whining fawned-round on-the-other-side
τοὺς μὲν ὅγε λάεσσιν ἀπὸ χθόνος ὅσσον ἀείρων
them indeed he with-stones from ground just lifting
φευγέμεν ἂψ ὀπίσω δειδίσσετο, τρηχὺ δὲ φωνῇ
to-flee back behind frightened harshly and with-voice
ἠπείλει μάλα πᾶσιν, ἐρητύσασκε δ' ὑλαγμοῦ,
threatened very all checked and from-barking
χαίρων ἐν φρεσὶν ἧσιν, ὁθούνεκεν αὖλιν ἔρυντο
rejoicing in mind his that the-stable they-guarded
αὐτοῦ γ' οὐ παρεόντος· ἔπος δ' ὅγε τοῖον ἔειπεν·
himself indeed not being-present word and he such said
" Ὢ πόποι, οἷον τοῦτο θεοὶ ποίησαν ἄνακτες
Ah alas what this the-gods made lords
θηρίον ἀνθρώποισι μετέμμεναι, ὡς ἐπιμηθές.
creature for-men to-be-among how intelligent
εἴ οἱ καὶ φρένες ὧδε νοήμονες ἔνδοθεν ἦσαν,
if to-it also wits so understanding within were
ᾔδει δ', ᾧ τε χρὴ χαλεπαινέμεν ᾧ τε καὶ οὐκί,
it-knew and with-whom both one-must be-angry with-whom and also not
οὐκ ἄν οἱ θηρῶν τις ἐδήρισεν περὶ τιμῆς·
not — with-it of-beasts any would-vie for honor
νῦν δὲ λίην ζάκοτόν τε καὶ ἀρρηνὲς γένετ' αὔτως."
now and too fierce both and snarling became just-so
Ἦ ῥα, καὶ ἐσσυμένως ποτὶ ταὐλίον ἶξον ἰόντες.
He-spoke then and hastening to the-stable came going
Ἠέλιος μὲν ἔπειτα ποτὶ ζόφον ἔτραπεν ἵππους
Helios indeed then toward the-dark turned horses
δείελον ἦμαρ ἄγων· τὰ δ' ἐπήλυθε πίονα μῆλα
evening day bringing the and came-up fat flocks

ἐκ βοτάνης ἀνιόντα μετ᾽ αὐλία τε σηκούς τε.
from pasture coming-up to folds both pens and
αὐτὰρ ἔπειτα βόες μάλα μυρίαι ἄλλαι ἐπ᾽ ἄλλαις
but then cows very countless other upon other
ἐρχόμεναι φαίνονθ᾽ ὡσεὶ νέφη ὑδατόεντα,
coming appeared like clouds watery
ἅσσά τ᾽ ἐν οὐρανῷ εἶσιν ἐλαυνόμενα προτέρωσε
which — in heaven go driven forward
ἠὲ νότοιο βίῃ ἠὲ Θρῃκὸς βορέαο·
or of-south-wind by-might or of-Thracian north-wind
τῶν μέν τ᾽ οὔτις ἀριθμὸς ἐν ἠέρι γίνετ᾽ ἰόντων,
of-them indeed — none number in air arises going
οὐδ᾽ ἄνυσις· τόσα γάρ τε μετὰ προτέροισι κυλίνδει
nor end so-many for — after the-former rolls
ἶς ἀνέμου, τὰ δέ τ᾽ ἄλλα κορύσσεται αὖτις ἐπ᾽ ἄλλοις·
force of-wind the and — others crest again upon others
τόσσ᾽ αἰεὶ μετόπισθε βοῶν ἐπὶ βουκόλι᾽ ἤει.
so-many always behind of-cows to the-herds went
πᾶν δ᾽ ἄρ᾽ ἐνεπλήσθη πεδίον, πᾶσαι δὲ κέλευθοι
all and then was-filled plain all and paths
ληίδος ἐρχομένης (στείνοντο δὲ πίονες ἀγροί),
of-the-booty coming were-crowded and fat fields
μυκηθμῷ· σηκοὶ δὲ βοῶν ῥεῖα πλήσθησαν
with-lowing pens and of-cows easily were-filled
εἰλιπόδων, ὄιες δὲ κατ᾽ αὐλὰς ηὐλίζοντο.
rolling-gait sheep and in folds were-folded
ἔνθα μὲν οὔτις ἔκηλος ἀπειρεσίων περ ἐόντων
there indeed no-one idle countless though being
εἱστήκει παρὰ βουσὶν ἀνὴρ κεχρημένος ἔργου·
stood by cows a-man needing work

ἀλλ᾽ ὁ μὲν ἀμφὶ πόδεσσιν ἐυτμήτοισιν ἱμᾶσι
but one indeed around feet with-well-cut thongs
κωλοπέδας ἀράρισκε περισταδὸν ἐγγὺς ἀμέλγειν·
hobbles fitted standing-close near to-milk
ἄλλος δ᾽ αὖ φίλα τέκνα φίλαις ὑπὸ μητράσιν ἴει
another and again dear young dear under mothers sent
πινέμεναι λιαροῖο μεμαότα πάγχυ γάλακτος,
to-drink warm eager wholly milk
ἄλλος ἀμόλγιον εἶχ᾽, ἄλλος τρέφε πίονα τυρόν,
another milk-pail held another curdled fat cheese
ἄλλος ἐσῆγεν ἔσω ταύρους δίχα θηλειάων.
another brought inside bulls apart the-females
Αὐγείης δ᾽ ἐπὶ πάντας ἰὼν θηεῖτο βοαύλους
Augeas and over all going viewed the-cattle-folds
ἥντινά οἱ κτεάνων κομιδὴν ἐτίθεντο νομῆες,
what-kind to-him of-possessions care made herdsmen
σὺν δ᾽ υἱός τε βίη τε βαρύφρονος Ἡρακλῆος
with and son both might and of-stern-minded Heracles
ὡμάρτευν βασιλῆι διερχομένῳ μέγαν ὄλβον.
went-along with-the-king passing-through great wealth
ἔνθα καὶ ἄρρηκτόν περ ἔχων ἐν στήθεσι θυμὸν
there even unbreakable though having in breast heart
Ἀμφιτρυωνιάδης καὶ ἀρηρότα νωλεμὲς αἰεὶ
son-of-Amphitryon and fixed unceasingly always
ἐκπάγλως θαύμαζε θεῶν τόγε μυρίον ἔδνον
exceedingly marveled of-gods this countless gift
εἰσορόων. οὐ γάρ κεν ἔφασκέ τις οὐδὲ ἐώλπει
seeing not for — would-have-said anyone nor expected
ἀνδρὸς ληῖδ᾽ ἑνὸς τόσσην ἔμεν οὐδὲ δέκ᾽ ἄλλων,
of-man the-wealth one so-great to-be not-even of-ten others

οἵτε πολύρρηνες πάντων ἔσαν ἐκ βασιλήων.
who many-flocked all were from kings
Ἠέλιος δ' ᾧ παιδὶ τόγ' ἔξοχον ὤπασε δῶρον,
Helios and to-his son this exceeding gave gift
ἀφνειὸν μήλοις περὶ πάντων ἔμμεναι ἀνδρῶν,
wealthy in-flocks above all to-be men
καί ῥά οἱ αὐτὸς ὄφελλε διαμπερέως βοτὰ πάντα
and then for-him himself increased throughout cattle all
ἐς τέλος· οὐ μὲν γάρ τις ἐπήλυθε νοῦσος ἐκείνου
to the-end not indeed for any came disease of-that
βουκολίοις, αἵτ' ἔργα καταφθείρουσι νομήων,
to-the-herds which works destroy of-herdsmen
αἰεὶ δὲ πλέονες κερααὶ βόες, αἰὲν ἀμείνους
always and more horned cows always better
ἐξ ἔτεος γίνοντο μάλ' εἰς ἔτος· ἦ γὰρ ἅπασαι
from year became very to year truly for all
ζωοτόκοι τ' ἦσαν περιώσια θηλυτόκοι τε.
living-calves-bearing both were exceedingly female-bearing and
ταῖς δὲ τριηκόσιοι ταῦροι συνάμ' ἐστιχόωντο
with-them and three-hundred bulls together went-in-rows
κνήμαργοί θ' ἕλικές τε, διηκόσιοί γε μὲν ἄλλοι
white-shanked both crumpled and two-hundred indeed indeed others
φοίνικες· πάντες δ' ἐπιβήτορες οἵγ' ἔσαν ἤδη.
red all and stud-bulls they were already
ἄλλοι δ' αὖ μετὰ τοῖσι δυώδεκα βουκολέοντο
others and again among them twelve were-herded
ἱεροὶ Ἠελίοιο· χρόην δ' ἔσαν ἠύτε κύκνοι
sacred of-Helios in-color and were like swans
ἀργησταί, πᾶσιν δὲ μετέπρεπον εἰλιπόδεσσιν
white all and stood-out-among rolling-gait

οἳ καὶ ἀτιμαγέλαι βόσκοντ' ἐριθηλέα ποίην
who even apart-from-the-herd grazed luxuriant grass
ἐν νομῷ· ὣδ' ἔκπαγλον ἐπὶ σφίσι γαυριόωντο.
in pasture so exceedingly in themselves they-exulted
καί ῥ' ὁπότ' ἐκ λασίοιο θοοὶ προγενοίατο θῆρες
and then when from shaggy swift came-forth beasts
ἐς πεδίον δρυμοῖο βοῶν ἕνεκ' ἀγροτεράων,
to plain thicket cows for-the-sake wild
πρῶτοι τοίγε μάχηνδε κατὰ χροὸς ἤεσαν ὀσμήν,
first these to-battle at skin went smell
δεινὸν δ' ἐβρυχῶντο φόνον λεύσσοντε προσώπῳ.
terribly and roared slaughter looking with-face
τῶν μέν τε προφέρεσκε βίηφί τε καὶ σφένεϊ ᾧ
of-them indeed — was-foremost in-might both and in-strength his
ἠδ' ὑπεροπλίῃ Φαέθων μέγας, ὅν ῥα βοτῆρες
and in-arrogance Phaethon great whom then herdsmen
ἀστέρι πάντες ἔισκον, ὀθούνεκα πολλὸν ἐν ἄλλοις
to-a-star all likened because much among others
βουσὶν ἰὼν λάμπεσκεν, ἀρίζηλος δ' ἐτέτυκτο.
cows going he-shone conspicuous and he-was
ὥς δή τοι σκύλος αὖον ἰδὼν χαροποῖο λέοντος
who indeed you-know hide dry seeing of-fierce-eyed lion
αὐτῷ ἔπειτ' ἐπόρουσεν ἐυσκόπῳ Ἡρακλῆι
at-him then rushed watchful Heracles
χρίμψασθαι ποτὶ πλευρὰ κάρη στιβαρόν τε μέτωπον.
to-graze against sides head stout and forehead
τοῦ μὲν ἄναξ προσιόντος ἐδράξατο χειρὶ παχείῃ
of-him indeed the-lord approaching grasped with-hand stout
σκαιοῦ ἄφαρ κέραος, κατὰ δ' αὐχένα νέρθ' ἐπὶ γαίης
left at-once horn down and neck below to earth

κλάσσε βαρύν περ ἐόντα, πάλιν δέ μιν ὦσεν ὀπίσσω
bent heavy though being back and him pushed backward
ὤμῳ ἐπιβρίσας· ὁ δέ οἱ περὶ νεῦρα τανυσθεὶς
with-shoulder bearing-down he and his round sinews stretched
μυὼν ἐξ ὑπάτοιο βραχίονος ὀρθὸς ἀνέστη.
muscle from the-top arm upright stood
θαύμαζεν δ' αὐτός τε ἄναξ υἱός τε δαΐφρων
marveled and himself both the-lord son and wise
Φυλεὺς οἵ τ' ἐπὶ βουσὶ κορωνίσι βουκόλοι ἄνδρες,
Phyleus who and over cows crook-horned cowherd men
Ἀμφιτρυωνιάδαο βίην ὑπέροπλον ἰδόντες.
of-the-son-of-Amphitryon might overweening seeing
Τὼ δ' εἰς ἄστυ λιπόντε καταυτόθι πίονας ἀγροὺς
They-two and to town leaving there rich fields
ἐστιχέτην, Φυλεύς τε βίη θ' Ἡρακληείη.
went Phyleus both might and Heraclean
λαοφόρου δ' ἐπέβησαν ὅθι πρώτιστα κελεύθου,
of-the-highway and set-foot where first road
λεπτὴν καρπαλίμοισι τρίβον ποσὶν ἐξανύσαντες,
narrow with-swift path with-feet having-finished
ἥ ῥα δι' ἀμπελεῶνος ἀπὸ σταθμῶν τετάνυστο
which then through vineyard from steadings was-stretched
οὔτι λίην ἀρίσημος ἐν ὕλῃ χλωρὰ θέουσα,
not-at-all very conspicuous in wood green running
τῇ μιν ἄρα προσέειπε Διὸς γόνον ὑψίστοιο
on-it him then addressed of-Zeus offspring highest
Αὐγείω φίλος υἱὸς ἔθεν μετόπισθεν ἰόντα,
of-Augeas dear son him behind going
ἦκα παρακλίνας κεφαλὴν κατὰ δεξιὸν ὦμον·
gently turning head toward right shoulder

"Ξεῖνε, πάλαι τινὰ πάγχυ σέθεν πέρι μῦθον ἀκούσας
Stranger long-ago a wholly you about story having-heard
ὡσεί περ σφετέρῃσιν ἐνὶ φρεσὶ βάλλομαι ἄρτι.
as though my-own in mind I-cast now
ἦλυθε γὰρ στείχων τις ἀπ' Ἄργεος ὡς μέσος ἀκμῆς
came for walking someone from Argos as mid of-prime
ἐνθάδ' Ἀχαιὸς ἀνὴρ Ἑλίκης ἐξ ἀγχιάλοιο·
here Achaean man Helice from by-the-sea
ὃς δή τοι μυθεῖτο καὶ ἐν πλεόνεσσιν Ἐπειῶν,
who indeed you-know told even among more of-the-Epeians
οὕνεκεν Ἀργείων τις ἕθεν παρεόντος ὄλεσσε
that of-the-Argives someone himself being-present destroyed
θηρίον, αἰνολέοντα, κακὸν τέρας ἀγροιώταις,
beast dread-lion evil monster to-countrymen
κοίλην αὖλιν ἔχοντα Διὸς Νεμέοιο παρ' ἄλσος,
hollow lair having of-Zeus Nemean by grove
οὐκ οἶδ' ἀτρεκέως ἢ Ἄργεος ἐξ ἱεροῖο
not I-know truly whether Argos from sacred
αὐτόθεν ἢ Τίρυνθα νέμων πόλιν ἠὲ Μυκήνην.
from-there or Tiryns dwelling city or Mycenae
ὣς κεῖνος ἀγόρευε· γένος δέ μιν εἶναι ἔφασκεν,
so he spoke race and him to-be said
εἰ ἐτεόν περ ἐγὼ μιμνήσκομαι, ἐκ Περσῆος.
if truly though I remember from Perseus
ἔλπομαι οὐχ ἕτερον τόδε τλήμεναι Αἰγιαλήων
I-think not another this to-have-dared of-the-Aegialeans
ἠὲ σέ· δέρμα δὲ θηρὸς ἀριφραδέως ἀγορεύει
than you skin and of-a-beast plainly declares
χειρῶν καρτερὸν ἔργον, ὅ τοι περὶ πλευρὰ καλύπτει.
of-hands mighty deed which for-you round sides covers

εἶπ᾽ ἄγε νῦν μοι πρῶτον, ἵνα γνώω κατὰ θυμόν,
tell come now me first that I-may-know in heart
ἥρως, εἴτ᾽ ἐτύμως μαντεύομαι εἴτε καὶ οὐκί,
hero whether truly I-divine or also not
εἰ σύγ᾽ ἐκεῖνος, ὃν ἦμιν ἀκουόντεσσιν ἔειπεν
if you that-one whom to-us listening he-told
180 οὐξ Ἑλίκηθεν Ἀχαιός, ἐγὼ δέ σε φράζομαι ὀρθῶς.
the from-Helice Achaean I and you perceive rightly
εἰπὲ δ᾽ ὅπως ὀλοὸν τόδε θηρίον αὐτὸς ἔπεφνες,
tell and how deadly this beast yourself you-slew
ὅππως τ᾽ εὔυδρον Νεμέης εἰσήλυθε χῶρον·
how and well-watered of-Nemea it-came-into land
οὐ μὲν γάρ κε τοσόνδε κατ᾽ Ἀπίδα κνώδαλον εὕροις
not indeed for — so-great in Apis creature you-would-find
ἱμείρων ἰδέειν, ἐπεὶ οὐ μάλα τηλίκα βόσκει,
longing to-see since not very such-great it-pastures
185 ἀλλ᾽ ἄρκτους τε σύας τε λύκων τ᾽ ὀλοφώιον ἔρνος.
but bears both boars and of-wolves and deadly brood
τῷ καὶ θαυμάζεσκον ἀκούοντες τότε μῦθον·
therefore also they-wondered hearing then the-story
οἱ δέ νυ καὶ ψεύδεσθαι ὁδοιπόρον ἀνέρ᾽ ἔφαντο
they and now even to-lie the-wayfarer man said
γλώσσης μαψιδίοιο χαριζόμενον παρεοῦσιν.”
with-tongue idle gratifying those-present
Ὣς εἰπὼν μέσσης ἐξηρώησε κελεύθου
So speaking from-the-middle withdrew road
190 Φυλεύς, ὄφρα κιοῦσιν ἅμα σφίσιν ἄρκιος εἴη,
Phyleus that walking together with-them sufficient it-might-be
καί ῥά τε ῥηίτερον φαμένου κλύοι Ἡρακλῆος,
and then — more-easily speaking he-might-hear Heracles

ὅς μιν ὁμαρτήσας τοίῳ προσελέξατο μύθῳ·
who him overtaking such addressed word
" Ὦ Αὐγηιάδη, τὸ μὲν ὅττί με πρῶτον ἀνήρευ,
O son-of-Augeas the indeed what me first you-asked
αὐτὸς καὶ μάλα ῥεῖα κατὰ στάθμην ἐνόησας.
yourself also very easily by line you-perceived
ἀμφὶ δέ σοι τὰ ἕκαστα λέγοιμί κε τοῦδε πελώρου
about and to-you the each I-would-tell — of-this monster
ὅππως ἐκράανθεν, ἐπεὶ λελίησαι ἀκούειν,
how they-were-done since you-long to-hear
νόσφίν γ' ἢ ὅθεν ἦλθε· τὸ γὰρ πολέων περ ἐόντων
apart indeed than whence it-came this for of-many though being
Ἀργείων οὐδείς κεν ἔχοι σάφα μυθήσασθαι·
the-Argives no-one — could clearly to-tell
οἷον δ' ἀθανάτων τίν' ἐίσκομεν ἀνδράσι πῆμα
only and of-immortals some we-guess to-men a-bane
ἱρῶν μηνίσαντα Φορωνείδῃσιν ἐφεῖναι.
for-sacrifices angered on-the-Phoronids to-send
πάντας γὰρ πισῆας ἐπικλύζων ποταμὸς ὡς
all for the-lowlanders flooding river like
λῖς ἄμοτον κεράιζε, μάλιστα δὲ Βεμβιναίους,
the-lion insatiably ravaged most and the-Bembinaeans
οἵ ἑθεν ἀγχόμοροι ναῖον πασχόντες ἄτλητα.
who of-it neighbors lived suffering unbearable
τὸν μὲν ἐμοὶ πρώτιστα τελεῖν ἐπέταξεν ἄεθλον
it indeed to-me first to-accomplish enjoined labor
Εὐρυσθεύς, κτεῖναι δέ μ' ἐφίετο θηρίον αἰνόν.
Eurystheus to-kill and me sent beast dread
αὐτὰρ ἐγὼ κέρας ὑγρὸν ἑλὼν κοίλην τε φαρέτρην
but I bow pliant taking hollow and quiver

ἰῶν ἐμπλείην νεόμην, ἑτέρηφι δὲ βάκτρον
of-arrows full went with-the-other and staff
εὐπαγὲς αὐτόφλοιον ἐπηρεφέος κοτίνοιο
well-set with-its-bark of-shady wild-olive
ἔμμητρον, τὸ μὲν αὐτὸς ὑπὸ ζαθέῳ Ἑλικῶνι
with-the-pith it indeed myself under holy Helicon
εὑρὼν σὺν πυκινῇσιν ὁλοσχερὲς ἔσπασα ῥίζαις.
finding with dense whole tore-up roots
αὐτὰρ ἐπεὶ τὸν χῶρον, ὅθι λὶς ἦεν, ἵκανον,
but when the place where the-lion was I-reached
δὴ τότε τόξον ἑλὼν στρεπτὴν ἐπέλασσα κορώνῃ
indeed then the-bow taking twisted fastened to-the-tip
νευρειήν, περὶ δ' ἰὸν ἐχέστονον εἶθαρ ἔβησα.
bowstring on and arrow grief-bringing at-once set
πάντῃ δ' ὄσσε φέρων ὀλοὸν τέρας ἐσκοπίαζον,
everywhere and eyes turning deadly portent I-watched-for
εἴ μιν ἐσαθρήσαιμι, πάρος γ' ἐμὲ κεῖνον ἰδέσθαι.
if it I-might-spy before indeed me that-one to-see
ἤματος ἦν τὸ μεσηγύ, καὶ οὐδέ πῃ ἴχνια τοῖο
of-the-day it-was the middle and not anywhere tracks of-it
φρασθῆναι δυνάμην οὐδ' ὠρυγμοῖο πυθέσθαι.
to-perceive I-could nor of-roaring to-learn
οὐδὲ μὲν ἀνθρώπων τις ἔην ἐπὶ βουσὶ καὶ ἔργοις
nor indeed of-men any was over cows and works
φαινόμενος σπορίμοιο δι' αὔλακος, ὅντιν' ἐροίμην·
appearing sown through furrow whom I-might-ask
ἀλλὰ κατὰ σταθμοὺς χλωρὸν δέος εἶχεν ἕκαστον.
but through steadings green fear held each
οὐ μὴν πρὶν πόδας ἔσχον ὄρος τανύφυλλον ἐρευνῶν,
not indeed before feet I-held mountain long-leaved searching

πρὶν ἰδέειν ἀλκῆς τε παραυτίκα πειρηθῆναι.
before to-see of-strength and at-once to-try
ἤτοι ὁ μὲν σήραγγα προδείελος ἔστιχεν εἰς ἥν,
truly it indeed to-its-den toward-evening went into its-own
βεβρωκὼς κρειῶν τε καὶ αἵματος, ἀμφὶ δὲ χαίτας
having-eaten of-meat both and of-blood about and mane
αὐχμηρὰς πεπάλακτο φόνῳ χαροπόν τε πρόσωπον
dry was-spattered with-gore fierce-eyed and face
στήθεά τε, γλώσσῃ δὲ περιλιχμᾶτο γένειον.
breast and with-tongue and licked chin
αὐτὰρ ἐγὼ θάμνοισιν ἄφαρ σκιεροῖσιν ἐκρύφθην
but I in-bushes at-once shady hid
ἐν ῥίῳ ὑλήεντι δεδεγμένος ὁππόθ' ἵκοιτο,
on peak wooded waiting when it-might-come
καὶ βάλον ἆσσον ἰόντος ἀριστερὸν ἐς κενεῶνα
and I-shot nearer coming left into flank
τηϋσίως· οὐ γάρ τι βέλος διὰ σαρκὸς ὄλισθεν
in-vain not for at-all arrow through flesh slipped
ὀκριόεν, χλωρῇ δὲ παλίσσυτον ἔμπεσε ποίῃ.
pointed green and back-springing fell-on grass
αὐτὰρ ὁ κρᾶτα δαφοινὸν ἀπὸ χθονὸς ὦκ' ἐπάειρε
but it head tawny from ground quickly raised
θαμβήσας, πάντῃ δὲ διέδρακεν ὀφθαλμοῖσι
astonished everywhere and looked-round with-eyes
σκεπτόμενος, λαμυροὺς δὲ χανὼν ὑπ' ὀδόντας ἔφηνε.
peering ravening and gaping under teeth showed
τῷ δ' ἐγὼ ἄλλον ὀιστὸν ἀπὸ νευρῆς προΐαλλον
at-it and I another arrow from string sent
ἀσχαλόων, ὅ μοι ὁ πρὶν ἐτώσιος ἔκφυγε χειρός·
vexed that for-me the before vain escaped hand

μεσσηγὺς δ᾽ ἔβαλον στηθέων, ὅθι πνεύμονος ἕδρη.
in-the-middle and I-shot breast where of-lung seat
ἀλλ᾽ οὐδ᾽ ὣς ὑπὸ βύρσαν ἔδυ πολυώδυνος ἰός,
but not-even so under hide went painful arrow
ἀλλ᾽ ἔπεσε προπάροιθε ποδῶν ἀνεμώλιος αὖτως.
but fell before feet vain idly
τὸ τρίτον αὖ μέλλεσκον ἀσώμενος ἐν φρεσὶν αἰνῶς
the third-time again I-was-about grieved in heart dreadfully
αὐερύειν· ὁ δέ μ᾽ εἶδε περιγληνώμενος ὄσσοις
to-draw it and me saw rolling with-eyes
θὴρ ἄμοτος, μακρὴν δὲ περ᾽ ἰγνύῃσιν ἕλιξε
beast insatiable long and round hams wound
κέρκον, ἄφαρ δὲ μάχης ἐμνήσατο· πᾶς δέ οἱ αὐχὴν
tail at-once and of-battle bethought all and its neck
θυμοῦ ἐνεπλήσθη, πυρσαὶ δ᾽ ἔφριξαν ἔθειραι
with-wrath was-filled tawny and bristled hair
σκυζομένῳ, κυρτὴ δὲ ῥάχις γένετ᾽ ἠύτε τόξον,
scowling curved and spine became like bow
πάντοθεν εἰληθέντος ὑπὸ λαγόνας τε καὶ ἰξύν.
all-round drawn-in under flanks both and loins
ὡς δ᾽ ὅτ᾽ ἂν ἁρματοπηγὸς ἀνὴρ πολέων ἴδρις ἔργων
as and when — a-wheelwright man of-many skilled works
ὄρπηκας κάμπτῃσιν ἐρινεοῦ εὐκεάτοιο,
saplings bends of-fig-tree well-split
θάλψας ἐν πυρὶ πρῶτον, ἐπαξονίῳ κύκλα δίφρῳ·
heating in fire first for-axled wheels chariot
τοῦ μὲν ὑπὲκ χειρῶν ἔφυγεν τανύφλοιος ἐρινεὸς
of-him indeed from-under hands escapes long-barked fig
καμπτόμενος, τηλοῦ δὲ μιῇ πήδησε σὺν ὁρμῇ·
bending far and one leaps with spring

ὣς ἐπ᾽ ἐμοὶ λῖς αἰνὸς ἀπόπροθεν ἀθρόος ἆλτο
so on me the-lion dread from-afar all-at-once leapt
μαιμώων χροὸς ἆσαι· ἐγὼ δ᾽ ἑτέρηφι βέλεμνα
eager of-flesh to-glut I and with-the-other arrows
χειρὶ προεσχεθόμην καὶ ἀπ᾽ ὤμων δίπλακα λώπην,
with-hand held-before and from shoulders double cloak
τῇ δ᾽ ἑτέρῃ ῥόπαλον κόρσης ὕπερ αὖον ἀείρας
with-the and other club temple above dry raising
ἤλασα κὰκ κεφαλῆς, διὰ δ᾽ ἄνδιχα τρηχὺν ἔαξα
struck down-on head through and in-two rough broke
αὐτοῦ ἐπὶ λασίοιο καρήατος ἀγριέλαιον
right on shaggy head wild-olive
θηρὸς ἀμαιμακέτοιο· πέσεν δ᾽ ὅγε πρὶν ἔμ᾽ ἱκέσθαι
of-beast irresistible it-fell and it before me to-reach
ὑψόθεν ἐν γαίῃ, καὶ ἐπὶ τρομεροῖς ποσὶν ἔστη
from-on-high to earth and on trembling feet stood
νευστάζων κεφαλῇ· περὶ γὰρ σκότος ὄσσέ οἱ ἄμφω
nodding with-head round for darkness eyes his both
ἦλθε, βίῃ σεισθέντος ἐν ὀστέῳ ἐγκεφάλοιο.
came by-force shaken in bone the-brain
τὸν μὲν ἐγὼν ὀδύνῃσι παραφρονέοντα βαρείαις
him indeed I with-pains out-of-his-mind heavy
νωσάμενος, πρὶν αὖτις ὑπότροπον ἀμπνυνθῆναι,
perceiving before again turning-back to-recover-breath
αὐχένος ἀρρήκτοιο παρ᾽ ἰνίον ἤλασα προφθάς,
of-neck unbreakable by nape struck anticipating
ῥίψας τόξον ἔραζε πολύρραπτόν τε φαρέτρην·
throwing bow to-the-ground much-stitched and quiver
ἦγχον δ᾽ ἐγκρατέως στιβαρὰς σὺν χεῖρας ἐρείσας
I-throttled and mightily stout with hands pressing

ἐξόπιθεν, μὴ σάρκας ὑποδρύψῃ ὀνύχεσσι,
from-behind lest flesh it-tear with-claws
πρὸς δ' οὖδας πτέρνῃσι πόδας στερεῶς ἐπίεζον
on and ground with-heels feet firmly I-pressed
οὐραίους ἐπιβάς, μηροῖσί τε πλεύρ' ἐφύλασσον,
hind-quarters treading-on with-thighs and sides guarded
μέχρί οἱ ἐξετάνυσσα βραχίονας ὀρθὸν ἀείρας
until its I-stretched arms upright raising
ἄπνευστον, ψυχὴν δὲ πελώριος ἔλλαχεν Ἅιδης.
breathless soul and huge got Hades
καὶ τότε δὴ βούλευον, ὅπως λασιαύχενα βύρσαν
and then indeed I-considered how shaggy-necked bide
θηρὸς τεθνειῶτος ἀπὸ μελέων ἐρυσαίμην,
of-beast dead from limbs I-might-strip
ἀργαλέον μάλα μόχθον, ἐπεὶ οὐκ ἔσκε σιδήρῳ
grievous very labor since not it-was with-iron
τμητὴ οὐδὲ λίθοις πειρωμένῳ, οὐδὲ μὲν ἄλλῃ
cuttable nor with-stones trying nor indeed with-other
ἔνθά μοι ἀθανάτων τις ἐπὶ φρεσὶ θῆκε νοῆσαι
there to-me of-immortals some in mind put to-think
αὐτοῖς δέρμα λέοντος ἀνασχίζειν ὀνύχεσσι.
with-its-own skin of-lion to-cut with-claws
τοῖσι θοῶς ἀπέδειρα, καὶ ἀμφεθέμην μελέεσσιν
with-them quickly I-flayed and put-round limbs
ἕρκος ἐνυαλίου ταμεσίχροος ἰωχμοῖο.
fence of-warlike flesh-cutting battle
οὗτός τοι Νεμέου γένετ' ὦ φίλε θηρὸς ὄλεθρος,
this you-know of-Nemean became O friend beast the-death
πολλὰ πάρος μήλοις τε καὶ ἀνδράσι κήδεα θέντος."
many before on-flocks both and men woes having-set

Λῆναι ἢ Βάκχαι

XXVI · THE BACCHAE

Ino, Autonoe, and Agave lead three bands to the mountain and build twelve altars to Semele and Dionysus. Pentheus spies on their rites from a rock. Autonoe sees him, and the frenzied women tear him apart, his mother first, and bring back to Thebes not Pentheus but grief. The poet does not pity an enemy of Dionysus. He hails the god, Semele, and her sisters, whose deed no one should blame.

Ἰνὼ καὐτονόα χἁ μαλοπάρανος Ἀγαύα
Ino and-Autonoe and-the apple-cheeked Agave
τρεῖς θιάσως ἐς ὄρος τρεῖς ἄγαγον αὐταὶ ἐοῖσαι.
three bands to the-mountain three led themselves being
χαί μὲν ἀμερξάμεναι λασίας δρυὸς ἄγρια φύλλα
and-they indeed having-plucked of-shaggy oak wild leaves
κισσόν τε ζώοντα καὶ ἀσφόδελον τὸν ὑπὲρ γᾶς
ivy and living and asphodel the over earth
ἐν καθαρῷ λειμῶνι κάμον δυοκαίδεκα βωμούς, 5
in a-pure meadow made twelve altars
τὼς τρεῖς τᾷ Σεμέλᾳ, τὼς ἐννέα τῷ Διονύσῳ.
the three — to-Semele the nine — to-Dionysus
ἱερὰ δ' ἐκ κίστας ποπανεύματα χερσὶν ἑλοῖσαι
holy and from the-chest offering-cakes with-hands taking
εὐφάμως κατέθεντο νεοδρέπτων ἐπὶ βωμῶν,
in-reverent-silence laid new-plucked on altars
ὡς ἐδίδασχ', ὡς αὐτὸς ἐθυμάρει Διόνυσος.
as had-taught as himself was-pleased Dionysus
Πενθεὺς δ' ἀλιβάτου πέτρας ἄπο πάντ' ἐθεώρει, 10
Pentheus and a-steep rock from all watched
σχῖνον ἐς ἀρχαίαν καταδύς, ἐπιχώριον ἔρνος.
mastich into old having-crept-down native plant

Αὐτονόα πράτα νιν ἀνέκραγε δεινὸν ἰδοῖσα,
Autonoe first him shrieked dread-thing seeing
σὺν δ' ἐτάραξε ποσὶν μανιώδεος ὄργια Βάκχου,
together and confounded with-feet of-the-frenzied rites Bacchus
ἐξαπίνας ἐπιοῖσα, τὰ δ' οὐχ ὁρέοντι βέβηλοι.
suddenly coming-upon which and not see profane
μαίνετο μέν θ' αὕτα, μαίνοντο δ' ἄρ' εὐθὺ καὶ ἄλλαι.
she-raved indeed — she raved and then straightway also the-others
Πενθεὺς μὲν φεῦγεν πεφοβημένος, αἱ δ' ἐδίωκον,
Pentheus indeed fled terrified they and pursued
πέπλως ἐκ ζωστῆρος ἐπ' ἰγνύαν ἐρύσαισαι.
robes from girdle to the-knee having-drawn-up
Πενθεὺς μὲν τόδ' ἔειπε· "τίνος κέχρησθε γυναῖκες;"
Pentheus indeed this said what do-you-want women
Αὐτονόα τόδ' ἔειπε "τάχα γνώσῃ πρὶν ἀκοῦσαι."
Autonoe this said soon you-will-know before hearing
μάτηρ μὲν κεφαλὰν μυκήσατο παιδὸς ἑλοῖσα,
the-mother indeed head bellowed of-the-son taking
ὅσσόν περ τοκάδος τελέθει μύκημα λεαίνας·
as-much-as though whelping is the-roar a-lioness
Ἰνὼ δ' ἐξέρρηξε σὺν ὠμοπλάτᾳ μέγαν ὦμον
Ino and tore-off with shoulder-blade great shoulder
λὰξ ἐπὶ γαστέρα βᾶσα, καὶ Αὐτονόας ῥυθμὸς ὠὐτός·
heel on belly setting and of-Autonoe the-rhythm the-same
αἱ δ' ἄλλαι τὰ περισσὰ κρεανομέοντο γυναῖκες.
the and other the rest carved-the-meat women
ἐς Θήβας δ' ἀφίκοντο πεφυρμέναι αἵματι πᾶσαι,
to Thebes and came spattered with-blood all
ἐξ ὄρεος πένθημα καὶ οὐ Πενθῆα φέροισαι.
from the-mountain a-woe and not Pentheus bearing

οὐκ ἀλέγω· μηδ' ἄλλος ἀπεχθομένω Διονύσῳ
not I-care nor another hateful to-Dionysus
φροντίζοι, μηδ' εἰ χαλεπώτερα τῶνδ' ἐμόγησεν,
let-him-heed nor if harder than-these he-suffered
εἴη δ' ἐνναέτης ἢ καὶ δεκάτω ἐπιβαίνοι·
let-him-be and nine-years-old or even the-tenth set-foot-on
αὐτὸς δ' εὐαγέοιμι καὶ εὐαγέεσσιν ἄδοιμι.
myself and may-I-be-pure and to-the-pure may-I-be-pleasing
ἐκ Διὸς αἰγιόχω τιμὰν ἔχει αἰετὸς οὗτος.
from Zeus aegis-bearing honor has eagle this
εὐσεβέων παίδεσσι τὰ λώια, δυσσεβέων δ' οὔ.
of-the-pious to-the-children the better of-the-impious but not
χαίροι μὲν Διόνυσος, ὃν ἐν Δρακάνῳ νιφόεντι
may-he-rejoice indeed Dionysus whom on Dracanus snowy
Ζεὺς ὕπατος μεγάλαν ἐπιγουνίδα κάτθετο λύσας·
Zeus highest great knee-burden set-down having-loosed
χαίροι δ' εὐειδὴς Σεμέλα καὶ ἀδελφεαὶ αὐτᾶς
may-she-rejoice and fair-formed Semele and sisters her
Καδμεῖαι πολλαῖς μεμελημέναι ἡρωίναις,
Cadmean by-many sung heroines
αἳ τόδε ἔργον ἔρεξαν ὀρίναντος Διονύσου
who this deed did rousing Dionysus
οὐκ ἐπιμωματόν. μηδεὶς τὰ θεῶν ὀνόσαιτο.
not to-be-blamed no-one the of-gods should-fault

Ὀαριστύς

XXVII · THE LOVERS' TALK

A cowherd, Daphnis, woos a girl in an exchange of lines. She resists, fearing marriage, childbirth, and the loss of her beauty; he answers each fear, promises her his herd, groves, and pasture, and swears not to leave her. When she asks his name and family, he tells her, and she says she is not his inferior; he grants that she is highly honored and names her father, Menalcas. The poem ends there in this edition.

ΚΟΡΗ Τὰν πινυτὰν Ἑλέναν Πάρις ἥρπασε βουκόλος ἄλλος.
— wise Helen Paris carried-off a-cowherd another

ΔΑΦΝΙΣ μᾶλλον ἑκοῖσ' Ἑλένα τὸν βουκόλον ἔσχε φιλεῦσα.
rather willing Helen the cowherd held kissing

ΚΟΡΗ μὴ καυχῶ σατυρίσκε· κενὸν τὸ φίλαμα λέγουσιν.
not boast little-satyr empty the kiss they-say

ΔΑΦΝΙΣ ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.
there-is even in empty kisses sweet delight

ΚΟΡΗ τὸ στόμα μευ πλύνω καὶ ἀποπτύω τὸ φίλαμα.
the mouth my I-wash and spit-out the kiss

ΔΑΦΝΙΣ πλύνεις χείλεα σεῖο; δίδου πάλιν ὄφρα φιλάσω.
you-wash lips your give again that I-may-kiss

ΚΟΡΗ καλόν σοι δαμάλας φιλέειν, οὐκ ἄζυγα κώραν.
fair for-you heifers to-kiss not unwedded girl

ΔΑΦΝΙΣ μὴ καυχῶ· τάχα γάρ σε παρέρχεται ὡς ὄναρ ἥβη.
not boast soon for you passes like a-dream youth

ΚΟΡΗ ἢν δέ τι γηράσκω, τόδε που μέλι καὶ γάλα πίνω.
if and somewhat I-grow-old this perhaps honey and milk I-drink

ΔΑΦΝΙΣ ***
(lacuna)

ΚΟΡΗ ἁ σταφυλὶς σταφίς ἐστι καὶ οὐ ῥόδον αὖον ὀλεῖται.
the grape a-raisin is and not the-rose dry will-perish

ΔΑΦΝΙΣ δεῦρ᾽ ὑπὸ τὰς κοτίνους, ἵνα σοί τινα μῦθον ἐνίψω.
hither under the wild-olives that to-you some word I-may-tell

ΚΟΡΗ οὐκ ἐθέλω· καὶ πρίν με παρήπαφες ἁδέι μύθῳ.
not I-wish even before me you-cheated with-sweet word

ΔΑΦΝΙΣ δεῦρ᾽ ὑπὸ τὰς πτελέας, ἵν᾽ ἐμᾶς σύριγγος ἀκούσῃς.
hither under the elms that my pipe you-may-hear

ΚΟΡΗ τὴν σαυτοῦ φρένα τέρψον· ὀιζύον οὐδὲν ἀρέσκει.
the your-own heart delight wretched nothing pleases

ΔΑΦΝΙΣ φεῦ φεῦ τᾶς Παφίας χόλον ἄζεο καὶ σύγε κώρα.
alas alas of-the Paphian anger fear also you girl

ΚΟΡΗ χαιρέτω ἁ Παφία· μόνον ἵλαος Ἄρτεμις εἴη.
farewell the Paphian only gracious Artemis may-be

ΔΑΦΝΙΣ μὴ λέγε, μὴ βάλλῃ σε καὶ ἐς λίνον ἄκριτον ἔνθῃς.
not say lest she-strike you and into net inescapable you-come

ΚΟΡΗ βαλλέτω ὡς ἐθέλει· πάλιν Ἄρτεμις ἄμμιν ἀρήγει.
let-her-strike as she-wishes again Artemis us helps

ΔΑΦΝΙΣ οὐ φεύγεις τὸν Ἔρωτα, τὸν οὐ φύγε παρθένος ἄλλη.
not you-escape — Love whom not escaped maiden other

ΚΟΡΗ φεύγω ναὶ τὸν Πᾶνα· σὺ δὲ ζυγὸν αἰὲν ἀείρεις.
I-escape yes-by — Pan you and yoke always bear

ΔΑΦΝΙΣ δειμαίνω, μὴ δή σε κακωτέρῳ ἀνέρι δώσει.
I-fear lest indeed you to-worse man he-will-give

ΚΟΡΗ πολλοί μ᾽ ἐμνώοντο, νόμον δ᾽ ἐμὸν οὔτις ἀείδει.
many me wooed strain but mine none sings

ΔΑΦΝΙΣ εἷς καὶ ἐγὼ πολλῶν μνηστὴρ τεὸς ἐνθάδ᾽ ἱκάνω.
one also I of-many suitor your here come

ΚΟΡΗ καὶ τί φίλος ῥέξαιμι; γάμοι πλήθουσιν ἀνίας.
and what dear might-I-do marriages are-full of-troubles

ΔΑΦΝΙΣ οὐκ ὀδύνην, οὐκ ἄλγος ἔχει γάμος, ἀλλὰ χορείην.
not pain not grief has marriage but dancing

ΚΟΡΗ ναὶ μάν φασι γυναῖκας ἑοὺς τρομέειν παρακοίτας.
yes indeed they-say women their-own to-fear husbands

ΔΑΦΝΙΣ μᾶλλον ἀεὶ κρατέουσι· τίνα τρομέουσι γυναῖκες;
rather always they-rule whom fear women

ΚΟΡΗ ὠδίνειν τρομέω· χαλεπὸν βέλος Εἰλειθυίης.
to-be-in-labor I-fear harsh arrow of-Eileithyia

ΔΑΦΝΙΣ ἀλλὰ τεὴ βασίλεια μογοστόκος Ἄρτεμίς ἐστιν.
but your queen helper-in-childbirth Artemis is

ΚΟΡΗ ἀλλὰ τεκεῖν τρομέω, μὴ καὶ χρόα καλὸν ὀλέσσω.
but to-bear I-fear lest also skin fair I-lose

ΔΑΦΝΙΣ ἢν δὲ τέκῃς φίλα τέκνα, νέον φάος ὄψεαι υἷας.
if but you-bear dear children new light you-will-see sons

ΚΟΡΗ καὶ τί μοι ἔδνον ἄγεις γάμου ἄξιον, ἢν ἐπινεύσω;
and what to-me gift do-you-bring of-marriage worthy if I-consent

ΔΑΦΝΙΣ πᾶσαν τὰν ἀγέλαν, πάντ' ἄλσεα καὶ νομὸν ἕξεις.
all the herd all groves and pasture you-will-have

ΚΟΡΗ ὄμνυε μὴ μετὰ λέκτρα λιπὼν ἀέκουσαν ἀπενθεῖν.
swear not after the-bed leaving unwilling to-go-away

ΔΑΦΝΙΣ οὐκ αὐτὸν τὸν Πᾶνα, καὶ ἢν ἐθέλῃς με διῶξαι.
no by-himself — Pan even if you-wish me to-chase-away

ΚΟΡΗ τεύχεις μοι θαλάμους, τεύχεις καὶ δῶμα καὶ αὐλάς;
you-build for-me chambers you-build also house and courts

ΔΑΦΝΙΣ τεύχω σοι θαλάμους· τὰ δὲ πώεα καλὰ νομεύω.
I-build for-you chambers the and flocks fair I-pasture

ΚΟΡΗ πατρὶ δὲ γηραλέῳ τίνα μάν, τίνα μῦθον ἐνίψω;
to-father and old what indeed what word shall-I-tell

ΔΑΦΝΙΣ αἰνήσει σέο λέκτρον, ἐπὴν ἐμὸν οὔνομ' ἀκούσῃ.
he-will-approve your bed when my name he-hears

ΚΟΡΗ οὔνομα σὸν λέγε τῆνο· καὶ οὔνομα πολλάκι τέρπει.
name your tell that even a-name often delights

ΔΑΦΝΙΣ Δάφνις ἐγώ, Λυκίδας τε πατήρ, μήτηρ δὲ Νομαία.
Daphnis I Lycidas and father mother and Nomaea

ΚΟΡΗ ἐξ εὐηγενέων· ἀλλ᾽ οὐ σέθεν εἰμὶ χερείων.
from well-born but not than-you am worse

ΔΑΦΝΙΣ οἶδ᾽, ἄκρα τιμίη ἐσσί· πατὴρ δέ τοί ἐστι Μενάλκας.
I-know highly honored you-are father and your is Menalcas

Ἠλακάτη

XXVIII · THE DISTAFF

The poet addresses an ivory distaff, Athena's gift, which he carries by sea to Miletus for Theugenis, wife of his friend the physician Nicias. With it she will spin robes for men and women, since she loves good work. It comes from Syracuse, the city Archias founded, and will remind her of the poet. Seeing it, people will say that a small gift from a friend is precious.

Γλαύκας ὦ φιλέριθ᾽ ἀλακάτα δῶρον Ἀθανάας
of-Gray-eyed O wool-loving distaff gift Athena
γύναιξιν, νόος οἰκωφελίας αἶσιν ἐπάβολος,
to-women mind of-housewifery whose sharing-in
θέρσεισ᾽ ἄμμιν ὑμάρτη πόλιν ἐς Νείλεος ἀγλάαν,
confident with-us accompany the-city to of-Neleus splendid
ὅπᾳ Κύπριδος ἶρον καλάμω χλῶρον ὑπαπάλω.
where of-Cypris shrine of-reed green tender
τυῖδε γὰρ πλόον εὐάνεμον αἰτήμεθα πὰρ Δίος, 5
there for voyage fair-winded we-ask from Zeus
ὅπως ξέννον ἔμον τέρψομ᾽ ἴδων κἀντιφιλήσομεν,
that guest my I-may-delight seeing and-we-may-love-in-return
Νικίαν, Χαρίτων ἱμεροφώνων ἷερον φύτον,
Nicias of-the-Graces sweet-voiced sacred plant

καὶ σὲ τὰν ἐλέφαντος πολυμόχθω γεγενημέναν
and you the of-ivory much-wrought made
δῶρον Νικιάας εἰς ὀλόχω χέρρας ὀπάσσομεν,
a-gift of-Nicias to of-his-wife hands we-shall-give
σὺν τᾷ πόλλα μὲν ἔργ' ἐκτελέσεις ἀνδρεΐοις πέπλοις,
with whom many indeed works you-will-finish for-men's robes
πόλλα δ' οἷα γύναικες φορέοισ' ὐδάτινα βράκη.
many and such-as women wear watery gowns
δὶς γὰρ μάτερες ἄρνων μαλάκοις ἐν βοτάνᾳ πόκοις
twice for mothers of-lambs soft in pasture fleeces
πέξαιντ' αὐτοένει, Θευγένιδός γ' ἔνεκ' ἐυσφύρω·
may-be-shorn in-a-year Theugenis indeed for-the-sake fair-ankled
οὕτως ἀνυσίεργος, φιλέει δ' ὅσσα σαόφρονες.
so busy she-loves and as-much-as the-prudent
οὐ γὰρ εἰς ἀκίρας οὐδ' ἐς ἀέργω κεν ἐβολλόμαν
not for to idle nor to lazy — I-would-wish
ὀπάσσαι σε δόμοις ἀμμετέρας ἔσσαν ἀπὺ χθόνος.
to-give you houses our being from land
καὶ γάρ τοι πάτρις, ἂν ὠξ Ἐφύρας κτίσσέ ποτ' Ἀρχίας
and for you-know the-fatherland which from Ephyra founded once Archias
νάσω Τρινακρίας μύελον, ἄνδρων δοκίμων πόλιν.
of-island Trinacria marrow of-men approved city
νῦν μὰν οἶκον ἔχοισ' ἄνερος, ὃς πόλλ' ἐδάη σόφα
now indeed a-house having of-a-man who many learned wise-things
ἀθρώποισι νόσοις φάρμακα λύγραις ἀπαλαλκέμεν,
for-men diseases remedies baneful to-ward-off
οἰκήσεις κατὰ Μίλλατον ἐράνναν πεδ' Ἰαόνων,
you-will-dwell in Miletus lovely among the-Ionians
ὡς εὐαλάκατος Θεύγενις ἐν δαμότισιν πέλῃ,
that fine-distaffed Theugenis among townswomen may-be

καί οἱ μνᾶστιν ἄει τῶ φιλαοίδω παρέχῃς ξένω.
and for-her reminder always of-the song-loving you-may-give guest
κῆνο γάρ τις ἔρει τὤπος ἴδων σ᾽· ἦ μεγάλα χάρις
that for someone will-say the-word seeing you truly great grace
δώρῳ σὺν ὀλίγῳ· πάντα δὲ τίματα τὰ πὰρ φίλων. 25
gift with small all and precious the from friends

Εἰδύλλιον Ἔρωντος

XXIX · THE BOY

Speaking the truth that wine brings, the poet tells the boy he loves that he is not loved wholeheartedly. He asks the boy to keep one nest in one tree, not to chase each new admirer. Youth has wings and never returns, so the boy should love him back, and later they may be friends like Achilles and his comrade. For him the poet would now face even Cerberus; refused, he will be cured and not come even when called.

Οἶνος ὦ φίλε παῖ λέγεται καὶ ἀλάθεα·
Wine O dear boy is-said also truths
κἄμμε χρὴ μεθύοντας ἀλαθέας ἔμμεναι.
and-us one-must drunk true to-be
κἤγω μὲν τὰ φρενῶν ἐρέω κέατ᾽ ἐν μυχῷ.
and-I indeed the of-my-heart will-tell they-lie in the-depth
οὐκ ὅλας φιλέειν μ᾽ ἐθέλησθ᾽ ἀπὸ καρδίας.
not whole to-love me you-wish from heart
γινώσκω· τὸ γὰρ ἅμισυ τᾶς ζοΐας ἔχω 5
I-know the for half of-the life I-have
ζὰ τὰν σὰν ἰδέαν, τὸ δὲ λοιπὸν ἀπώλετο.
by the your form the and rest has-perished
χὤτα μὲν σὺ θέλῃς, μακάρεσσιν ἴσαν ἄγω
and-when indeed you wish to-the-blessed equal I-lead

ἀμέραν· ὅτα δ' οὐκ ἐθέλῃς τύ, μάλ' ἐν σκότῳ.
day when and not you-wish you very in darkness
πῶς ταῦτ' ἄρμενα, τὸν φιλέοντ' ἀνίαις δίδων;
how these fitting the lover to-pains giving
ἀλλ' εἴ μοί τι πίθοιο νέος προγενεστέρῳ,
but if to-me at-all you-would-obey young to-elder
τῷ κε λώιον αὔτος ἔχων ἔμ' ἐπαινέσαις,
for-which — better yourself having me you-would-praise
ποίησαι καλίαν μίαν εἰν ἑνὶ δενδρίῳ,
make nest one in one tree
ὅππῃ μηδὲν ἀπίξεται ἄγριον ἕρπετον.
where nothing will-come wild creeping-thing
νῦν δὲ τῶδε μὲν ἄματος ἄλλον ἔχῃς κλάδον,
now and this indeed day one you-have branch
ἄλλον δ' αὔριον, ἐξ ἑτέρω δ' ἕτερον μάτῃς·
another and tomorrow from other and another you-seek
καὶ μέν σευ τὸ κάλον τις ἴδων ῥέθος αἰνέσαι,
and-if indeed your the fair someone seeing face praise
τῷ δ' εὔθυς πλέον ἢ τριέτης ἐγένευ φίλος,
him and at-once more than three-year you-became friend
τὸν πρῶτον δὲ φιλεῦντα τρίταιον ἐθήκαο.
the first and lover third-day-old you-made
ἄνδρων τῶν ὑπερανορέων δοκίμοις πνέειν.
of-men the overbearing you-seem to-breathe
φίλη δ', ἅς κ' ἔτ' ἔῃς, τὸν ὕμοιον ἔχην ἀεί.
love and while — still you-are the like to-have always
αἰ γὰρ ὧδε πόῃς, ἄγαθος μὲν ἀκούσεαι
if for so you-do good indeed you-will-be-heard-of
ἐξ ἄστων· ὁ δέ τοί κ' Ἔρος οὐ χαλέπως ἔχοι,
from townsmen — and to-you — Love not harshly may-hold

ὃς ἄνδρων φρένας εὐμαρέως ὑποδάμναται,
who of-men hearts easily subdues
κἠμε μάλθακον ἐξ ἐπόησε σιδαρίω.
and-me soft out made from-iron
ἀλλὰ πὲρ ἀπάλω στύματός σε πεδέρχομαι
but by tender mouth you I-beseech
ὀμνάσθην, ὅτι πέρυσιν ἦσθα νεώτερος,
to-remember that last-year you-were younger
χὤτι γηραλέοι πέλομες πρὶν ἀποπτύσαι
and-that old we-become before spitting
καὶ ῥύσοι, νεότατα δ' ἔχην παλινάγρετον
and wrinkled youth and to-have recoverable
οὐκ ἔστι· πτέρυγας γὰρ ἐπομμαδίαις φόρη,
not it-is wings for on-the-shoulders it-bears
κἄμμες βαρδύτεροι τὰ ποτήμενα συλλάβην.
and-we slower the flying to-catch
ταῦτα χρὴ νοέοντα πέλην ποτιμώτερον,
these-things one-must considering to-be gentler
καί μοι τὠραμένῳ συνέραν ἀδόλως σέθεν,
and to-me the-lover to-love-in-return without-guile of-you
ὅπως, ἀνίκα τὰν γένυν ἀνδρεΐαν ἔχῃς,
that when the beard manly you-have
ἀλλάλοισι πελώμεθ' Ἀχιλλέϊοι φίλοι.
to-each-other we-may-be Achillean friends
αἰ δὲ ταῦτα φέρην ἀνέμοισιν ἐπιτρόπῃς,
if but these to-bear to-the-winds you-commit
ἐν θύμῳ δὲ λέγῃς "τί με δαιμόνι' ἐνόχλης;"
in heart and say why me strange-man do-you-trouble
νῦν μὲν κἠπὶ τὰ χρύσεα μᾶλ' ἔνεκεν σέθεν
now indeed even-for the golden apples for-the-sake you

βαίην καὶ φύλακον νεκύων πεδὰ Κέρβερον,
I-would-go and the-guardian of-the-dead to Cerberus
τότα δ' οὐδὲ καλεῦντος ἐπ' αὐλείαις θύραις
then and not-even calling at court doors
προμόλοιμί κε παυσάμενος χαλέπω πόθω.
I-would-come-forth — having-ceased from-hard longing

Παιδικά

XXX · THE SECOND BOY

An older man is sick with love for a boy who blushed when he passed. He reasons with himself that he is too old and should give it up, but Love, who has overcome even Zeus, wills otherwise. He must bear the yoke, a leaf blown by every breeze.

Ὤιαι τῶ χαλεπῶ καὶνομόρω τῶδε νοσήματος·
Woe the cruel and-ill-fated this sickness
τετορταῖος ἔχει, παιδὸς ἔρως, μῆνά με δεύτερον,
quartan holds of-a-boy love month me second
μᾶκος μὲν μετρίω γ', ἀλλ' ὁπόσον τῶ πέδα περρέχε
height indeed of-moderate indeed but as-much-as the ground it-overtops
τᾶς γᾶς τοῦτο χάρις· ταῖς δὲ παραύαις γλυκὺ μειδίαι.
of-the earth this grace the and cheeks sweetly he-smiles
καὶ νῦν μὲν τὸ κακὸν ταῖς μὲν ἔχει, ταῖσι δέ μ' οὐκέτι,
and now indeed the evil on-some indeed holds on-others and me no-longer
τάχα δ' οὐδ' ὅσον ὕπνω 'πιτύχην ἔσσετ' ἐρωία·
soon and not-even as-much-as of-sleep to-get will-be respite
ἐχθὲς γὰρ παριὼν ἔδρακε λέπτ' ἄμμε δι' ὀφρύγων
yesterday for passing glanced slightly us through brows
αἰδεσθεὶς ποτίδην ἀντίος, ἠρεύθετο δὲ χρόα.
ashamed to-look face-to-face blushed and in-skin

ἔμεθεν δὲ πλέον τᾶς κραδίας ὤρος ἐδράξατο,
of-me and more of-the heart the-love grasped
εἰς οἶκον δ' ἀπέβαν ἔλκος ἔχων καὶ τὸ κέαρ δακών.
to home and I-went-away a-wound having and the heart having-bitten
Πολλὰ δ' εἰσκαλέσας θυμὸν ἐμαυτοῦ διελεξάμαν·
Much and calling-in heart my-own I-reasoned
τί δὴ ταῦτα ποίης; ἀλοσύνας τί ἔσχατον ἔσσεται;
what indeed this you-do of-madness what last will-be
λεύκας οὐκετ' ἴσησθ' ὅττι φορῇς ἐν κροτάφοις τρίχας;
white no-longer do-you-know that you-wear on temples hair
ὥρά τοι φρονέειν μὴ οὔτι νέος τὰν ἰδέαν πέλῃ.
time for-you to-be-wise as not-at-all young the form you-are
πάντ' ἔρδης ἅπερ οἱ τῶν ἐτέων ἄρτι γεγευμένοι.
all you-do which those of-the years just having-tasted
καὶ μὰν ἄλλο σε λάθει· τόδ' ἄρ' ἦς λώιον, ἔμμεναι
and indeed other you escapes-notice this then were better to-be
ξέννον τῶν χαλεπῶν παιδὸς ἐράννω παράπαν πόθων
stranger of-the cruel of-a-boy lovely wholly longings
τῷ μὲν γὰρ βίος ἕρπει προγόνοις ἶσ' ἐλάφω θοᾶς,
to-him indeed for life goes forward like of-deer swift
χαλάσει δ' ἑτέρᾳ ποντοπόρην αὔριον ἅρμενα.
will-loosen and to-another to-voyage tomorrow tackle
οὐδ' αὐτῷ γλυκερᾶς ἄνθεμον ἅβας πεδ' ὐμαλίκων
nor to-him of-sweet flower youth among age-mates
μένει· τῷ δ' ὁ πόθος καὶ τὸν ἔσω μυελὸν ἐσθίει
remains to-him and the longing even the inner marrow eats
ὀμμιμνασκομένῳ· πολλὰ δ' ὄρη νυκτὸς ἐνύπνια,
remembering many and he-sees by-night dreams
παύσασθαι δ' ἐνιαυτὸς χαλεπᾶς οὐκ ἱκανὸς νόσω.
to-cease and a-year of-hard not sufficient sickness

Ταῦτα χἄτερα πολλὰ προτ᾽ ἐμὸν θυμὸν ἐμεμψάμαν.
These and-other many toward my heart I-blamed
ὁ δὲ τοῦτ᾽ ἔφατ᾽· ὅττις δοκίμοι τὸν δολομάχανον
it and this said whoever thinks the guile-plotting
νικάσειν Ἔρον, οὗτος δοκίμοι τοὶς ὑπὲρ ἄμμεων
to-conquer Love this-one thinks the above us
εὑρεῖν βραϊδίως ἀστέρας ὁππόσσάκιν ἐννέα.
to-find easily stars how-many-times nine
καὶ νῦν, εἴτ᾽ ἐθέλω, χρή με μακρὸν σχόντα τὸν ἄμφενα
and now whether I-will one-must me long holding the neck
ἕλκειν τὸν ζυγόν, εἴτ᾽ οὐκ ἐθέλω· ταῦτα γὰρ ὦγαθὲ
to-draw the yoke or not I-will these for O-good-sir
βούλεται θέος, ὃς καὶ Διὸς ἔσφαλε μέγαν νόον
wills the-god who even of-Zeus tripped great mind
καὔτας Κυπρογενήας· ἔμε μάν, φύλλον ἐπάμερον,
and-of-herself Cyprus-born me indeed leaf of-a-day
σμίκρας δεύμενον αὔρας ὀνέμων ᾗ κε θέλῃ φόρη.
small needing breeze of-winds wherever — it-wishes it-carries

MOSCHUS

ΕΡΩΣ ΔΡΑΠΕΤΗΣ · ΕΥΡΩΠΗ · ΕΠΙΤΑΦΙΟΣ ΒΙΩΝΟΣ · ΜΕΓΑΡΑ

Runaway Love, Europa, the Lament for Bion, and Megara

Ἔρως Δραπέτης

I · RUNAWAY LOVE

Cypris proclaims that her son Love has run away and offers a kiss to whoever finds him. She describes him: fiery skin, sharp eyes, a sweet but lying tongue, a small bow and golden quiver, and a torch that burns the Sun himself. If caught, he must be bound; his tears and kisses are traps, and his gifts are dipped in fire.

Ἁ Κύπρις τὸν Ἔρωτα τὸν υἱέα μακρὸν ἐβώστρει·
— Cypris — Love the son loudly was-calling
‘ὅστις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα,
whoever at crossroads wandering has-seen Love
δραπετίδας ἐμός ἐστιν, ὁ μανύσας γέρας ἕξει·
runaway mine he-is the informer reward will-have
μισθόν τοι τὸ φίλαμα τὸ Κύπριδος, ἢν δ’ ἀγάγῃ νιν,
a-wage for-you the kiss the of-Cypris if and he-brings him
οὐ γυμνὸν τὸ φίλαμα, τὺ δ’ ὦ ξένε καὶ πλέον ἕξεις.
not bare the kiss you and O stranger also more will-have
ἔστι δ’ ὁ παῖς περίσαμος· ἐν εἴκοσι πᾶσι μάθοις νιν.
is and the boy conspicuous among twenty all you-would-know him
χρῶτα μὲν οὐ λευκός, πυρὶ δ’ εἴκελος· ὄμματα δ’ αὐτῷ
in-skin indeed not white to-fire and like eyes and his
δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες, ἁδὺ λάλημα·
sharp and flaming evil heart sweet talk
οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται· ὡς μέλι φωνά,
not for the-same he-thinks and speaks like honey the-voice
ὡς δὲ χολὰ νόος ἐστίν, ἀνάμερος, ἠπεροπευτάς,
like and gall the-mind is untamed a-cheat
οὐδὲν ἀλαθεύων, δόλιον βρέφος, ἄγρια παίσδων.
nothing telling-truth a-wily child cruel playing

εὐπλόκαμον τὸ κάρανον, ἔχει δ' ἰταμὸν τὸ μέτωπον.
fair-tressed the head he-has and bold the brow
μικύλα μὲν τήνῳ τὰ χερύδρια, μακρὰ δὲ βάλλει,
tiny indeed his the little-hands far and he-shoots
βάλλει κεἰς Ἀχέροντα καὶ εἰς Ἀΐδα βασίλεια.
he-shoots even-to Acheron and to of-Hades the-palace
γυμνὸς ὅλος τό γε σῶμα, νόος δέ οἱ εὖ πεπύκασται.
naked all the indeed body mind and his well is-wrapped
καὶ πτερόεις ὡς ὄρνις ἐφίπταται ἄλλον ἐπ' ἄλλῳ,
and winged like a-bird he-flies-over one after another
ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται.
men and women on vitals and he-sits
τόξον ἔχει μάλα βαιόν, ὑπὲρ τόξῳ δὲ βέλεμνον,
bow he-has very small on bow and arrow
τυτθὸν μὲν τὸ βέλεμνον, ἐς αἰθέρα δ' ἄχρι φορεῖται.
small indeed the arrow to heaven and up-to is-borne
καὶ χρύσεον περὶ νῶτα φαρέτριον, ἔνδοθι δ' ἐντί
and golden round back a-quiver within and are
τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἀμὲ τιτρώσκει.
the bitter reeds with-which often even-me he-wounds
πάντα μὲν ἄγρια ταῦτα, πολὺ πλέον ἁ δαΐς αὐτῷ·
all indeed cruel these much more the torch his
βαιὰ λαμπὰς ἐοῖσα τὸν Ἅλιον αὐτὸν ἀναίθει.
small torch being — Sun himself sets-ablaze
ἤν τύ γ' ἕλῃς τῆνον, δήσας ἄγε μηδ' ἐλεήσῃς.
if you indeed take him having-bound lead and-not pity
κἢν ποτίδῃς κλαίοντα, φυλάσσεο μή σε πλανάσῃ.
and-if you-see weeping beware lest you he-deceive
κἢν γελάῃ, τύ νιν ἕλκε, καὶ ἢν ἐθέλῃ σε φιλᾶσαι,
and-if he-laugh you him drag and if he-wish you to-kiss

φεῦγε· κακὸν τὸ φίλαμα, τὰ χείλεα φάρμακον ἐντί.
flee evil the kiss the lips poison are
ἢν δὲ λέγῃ "λάβε ταῦτα, χαρίζομαι ὅσσα μοι ὅπλα,"
if but he-say take these I-give as-many-as my weapons
μὴ τὺ θίγῃς πλάνα δῶρα· τὰ γὰρ πυρὶ πάντα βέβαπται.'
not you touch deceitful gifts these for in-fire all are-dipped

Εὐρώπη

II · EUROPA

Europa dreams that two continents fight over her. Waking, she goes with her friends to the meadow by the sea, carrying a golden basket made by Hephaestus. Zeus, struck by the arrows of Cypris, becomes a gentle bull; she sits on his back, and he carries her across the sea, escorted by Nereids and Tritons. He reveals himself and brings her to Crete, where she bears him sons.

Εὐρώπῃ ποτὲ Κύπρις ἐπὶ γλυκὺν ἧκεν ὄνειρον.
To-Europa once Cypris on sweet sent a-dream
νυκτὸς ὅτε τρίτατον λάχος ἵσταται, ἐγγύθι δ' ἠώς,
of-night when the-third watch stands near and dawn
ὕπνος ὅτε γλυκίων μέλιτος βλεφάροισιν ἐφίζων
sleep when sweeter than-honey on-eyelids sitting
λυσιμελὴς πεδάᾳ μαλακῷ κατὰ φάεα δεσμῷ,
limb-loosening fetters with-soft over the-eyes bond
εὖτε καὶ ἀτρεκέων ποιμαίνεται ἔθνος ὀνείρων· 5
when also of-true is-shepherded the-tribe dreams
τῆμος ὑπωροφίοισιν ἐνὶ κνώσσουσα δόμοισι
then roofed in sleeping halls
Φοίνικος θυγάτηρ ἔτι παρθένος Εὐρώπεια
of-Phoenix daughter still maiden Europa

ὠίσατ᾽ ἠπείρους δοιὰς περὶ εἶο μάχεσθαι,
thought continents two over her to-fight
Ἀσίδα τ᾽ ἀντιπέρην τε· φυὴν δ᾽ ἔχον οἷα γυναῖκες.
Asia both the-land-opposite and form and they-had as women
τῶν δ᾽ ἡ μὲν ξείνης μορφὴν ἔχεν, ἡ δ᾽ ἄρ᾽ ἐώκει
of-them and the-one indeed of-a-stranger form had the-other and then was-like
ἐνδαπίῃ, καὶ μᾶλλον ἑῆς περιίσχετο κούρης,
native and rather her clung-to daughter
φάσκεν δ᾽ ὥς μιν ἔτικτε καὶ ὡς ἀτίταλλέ μιν αὐτή.
she-said and how her she-bore and how reared her herself
ἡ δ᾽ ἑτέρη κρατερῇσι βιωομένη παλάμῃσιν
the and other with-strong forcing hands
εἵρυεν οὐκ ἀέκουσαν, ἐπεὶ φάτο μόρσιμον εἶο
dragged not unwilling since she-said fated her
ἐκ Διὸς αἰγιόχου γέρας ἔμμεναι Εὐρώπειαν.
from Zeus aegis-bearing as-prize to-be Europa
ἡ δ᾽ ἀπὸ μὲν στρωτῶν λεχέων θόρε δειμαίνουσα,
she and from indeed spread bed leapt fearing
παλλομένη κραδίην· τὸ γὰρ ὡς ὕπαρ εἶδεν ὄνειρον.
throbbing in-heart that for as reality she-saw dream
ἑζομένη δ᾽ ἐπὶ δηρὸν ἀκὴν ἔχεν, ἀμφοτέρας δέ
sitting and for long silent she-was both and
εἰσέτι πεπταμένοισιν ἐν ὄμμασιν εἶχε γυναῖκας.
still wide-open in eyes she-held the-women
ὀψὲ δὲ δειμαλέην ἀνενείκατο παρθένος αὐδήν·
late and fearful raised the-maiden voice
‘τίς μοι τοιάδε φάσματ᾽ ἐπουρανίων προΐηλεν;
who for-me such visions of-the-heavenly sent-forth
ποῖοί με στρωτῶν λεχέων ὕπερ ἐν θαλάμοισιν
what me spread bed over in chambers

ἡδὺ μάλα κνώσσουσαν ἀνεπτοίησαν ὄνειροι,
sweetly very sleeping startled dreams
τίς δ' ἦν ἡ ξείνη, τὴν εἴσιδον ὑπνώουσα;
who and was the stranger whom I-saw sleeping
ὥς μ' ἔλαβε κραδίην κείνης πόθος, ὥς με καὶ αὐτή
how me seized at-heart her longing how me also herself
ἀσπασίως ὑπέδεκτο καὶ ὡς σφετέρην ἴδε παῖδα.
gladly received and as her-own looked-on child
ἀλλά μοι εἰς ἀγαθὸν μάκαρες κρήνειαν ὄνειρον.'
but for-me to good the-blessed may-fulfill the-dream
ὣς εἰποῦσ' ἀνόρουσε, φίλας δ' ἐπεδίζεθ' ἑταίρας
so saying she-sprang-up dear and sought comrades
ἥλικας οἰέτεας θυμήρεας εὐπατερείας,
age-mates of-like-years pleasing of-noble-fathers
τῇσιν ἀεὶ συνάθυρεν, ὅτ' ἐς χορὸν ἐντύνοιτο,
with-whom always she-played when to dance she-prepared
ἢ ὅτε φαιδρύνοιτο χρόα προχοῇσιν ἀναύρων,
or when she-bathed skin in-the-outflows of-rivers
ἢ ὁπότ' ἐκ λειμῶνος ἐΰπνοα λείρι' ἀμέργοι.
or when from meadow sweet-smelling lilies she-plucked
αἳ δέ οἱ αἶψα φάανθεν· ἔχον δ' ἐν χερσὶν ἑκάστη
they and to-her at-once appeared held and in hands each
ἀνθοδόκον τάλαρον· ποτὶ δὲ λειμῶνας ἔβαινον
flower-holding basket to and meadows they-went
ἀγχιάλους, ὅθι τ' αἰὲν ὁμιλαδὸν ἠγερέθοντο
by-the-sea where — always in-throngs they-gathered
τερπόμεναι ῥοδέῃ τε φυῇ καὶ κύματος ἠχῇ.
delighting in-the-rose's both growth and of-wave in-the-sound
αὐτὴ δὲ χρύσεον τάλαρον φέρεν Εὐρώπεια,
herself and golden basket bore Europa

θηητόν, μέγα θαῦμα, μέγαν πόνον Ἡφαίστοιο,
marvelous great wonder great labor of-Hephaestus
ὃν Λιβύῃ πόρε δῶρον, ὅτ' ἐς λέχος Ἐννοσιγαίου
which to-Libya he-gave as-gift when to bed of-the-Earth-shaker
ἤϊεν· ἡ δὲ πόρεν περικαλλέϊ Τηλεφαάσσῃ,
she-went she and gave to-fair Telephassa
ἥτε οἱ αἵματος ἔσκεν· ἀνύμφῳ δ' Εὐρωπείῃ
who to-her of-blood was to-unwed and Europa
μήτηρ Τηλεφάασσα περικλυτὸν ὤπασε δῶρον.
mother Telephassa famous gave gift
ἐν τῷ δαίδαλα πολλὰ τετεύχατο μαρμαίροντα.
on it cunning-works many were-wrought gleaming
ἐν μὲν ἔην χρυσοῖο τετυγμένη Ἰναχὶς Ἰώ
on indeed was of-gold wrought daughter-of-Inachus Io
εἰσέτι πόρτις ἐοῦσα, φυὴν δ' οὐκ εἶχε γυναίην.
still a-heifer being form and not she-had womanly
φοιταλέῃ δὲ πόδεσσιν ἐφ' ἁλμυρὰ βαῖνε κέλευθα
roaming and with-feet on salty went paths
νηχομένῃ ἰκέλη· κυάνου δ' ἐτέτυκτο θάλασσα.
to-a-swimmer like of-dark-blue and was-wrought the-sea
δοιοὶ δ' ἕστασαν ὑψοῦ ἐπ' ὀφρύος αἰγιαλοῖο
two and stood high on brow of-the-shore
φῶτες ἀολλήδην, θηεῦντο δὲ ποντοπόρον βοῦν.
men in-a-throng watched and the-sea-crossing cow
ἐν δ' ἦν Ζεὺς Κρονίδης ἐπαφώμενος ἠρέμα χερσί
on and was Zeus son-of-Cronus touching gently with-hands
πόρτιος Ἰναχίης, τὴν δ' ἑπταπόρῳ παρὰ Νείλῳ
heifer of-Inachus her and seven-mouthed by Nile
ἐκ βοὸς εὐκεράοιο πάλιν μετάμειβε γυναῖκα.
from cow fair-horned again changed to-a-woman

ἀργύρεος μὲν ἔην Νείλου ῥόος, ἡ δ' ἄρα πόρτις
silver indeed was of-Nile the-stream she and then the-heifer
χαλκείη, χρυσοῦ δὲ τετυγμένος αὐτὸς ἔην Ζεύς.
bronze of-gold and wrought himself was Zeus
ἀμφὶ δὲ δινήεντος ὑπὸ στεφάνην ταλάροιο
round and of-rounded under the-rim the-basket
Ἑρμείης ἤσκητο· πέλας δέ οἱ ἐκτετάνυστο
Hermes was-wrought near and him was-stretched
Ἄργος ἀκοιμήτοισι κεκασμένος ὀφθαλμοῖσι.
Argus with-sleepless adorned eyes
τοῖο δὲ φοινήεντος ἀφ' αἵματος ἐξανέτελλεν
of-him and crimson from blood rose-up
ὄρνις ἀγαλλόμενος πτερύγων πολυανθέϊ χροιῇ,
a-bird glorying of-wings in-many-hued color
ταρσὸν ἀναπλώσας, ὡσεί τέ τις ὠκύαλος νηῦς
tail spreading like — some swift ship
χρυσείου ταλάροιο περίσκεπε χείλεα ταρσός.
of-golden basket covered lips the-tail
τοῖος ἔην τάλαρος περικαλλέος Εὐρωπείης.
such was the-basket of-very-fair Europa
αἳ δ' ἐπεὶ οὖν λειμῶνας ἐς ἀνθεμόεντας ἵκανον,
they and when then meadows to flowery they-came
ἄλλη ἐπ' ἀλλοίοισι τότ' ἄνθεσι θυμὸν ἔτερπον.
one at different then flowers heart delighted
τῶν ἣ μὲν νάρκισσον ἐΰπνοον, ἣ δ' ὑάκινθον,
of-them the-one indeed narcissus sweet-smelling the-other and hyacinth
ἣ δ' ἴον, ἣ δ' ἕρπυλλον ἀπαίνυτο· πολλὰ δ' ἔραζε
one and violet one and thyme plucked many and on-ground
λειμώνων ἐαροτρεφέων θαλέθεσκε πετηλά.
of-meadows spring-fed bloomed petals

αἳ δ' αὖτε ξανθοῖο κρόκου θυόεσσαν ἔθειραν
they and again of-golden crocus fragrant tresses
δρέπτον ἐριδμαίνουσαι· ἀτὰρ μέσσῃσιν ἄνασσα
plucked vying but in-their-midst the-queen
ἀγλαΐην πυρσοῖο ῥόδου χείρεσσι λέγουσα,
the-splendor of-flaming rose with-hands gathering
οἷά περ ἐν Χαρίτεσσι διέπρεπεν Ἀφρογένεια.
as indeed among the-Graces stood-out Foam-born
οὐ μὲν δηρὸν ἔμελλεν ἐπ' ἄνθεσι θυμὸν ἰαίνειν,
not indeed long was-she-to on flowers heart to-warm
οὐδ' ἄρα παρθενίην μίτρην ἄχραντον ἔρυσθαι.
nor then maiden girdle unstained to-keep
ἦ γὰρ δὴ Κρονίδης ὥς μιν φράσαθ', ὡς ἐόλητο
truly for indeed son-of-Cronus as her noticed so was-troubled
θυμὸν ἀνωίστοισιν ὑποδμηθεὶς βελέεσσι
in-heart by-unexpected subdued by-arrows
Κύπριδος, ἣ μούνη δύναται καὶ Ζῆνα δαμάσσαι.
of-Cypris who alone can even Zeus to-tame
δὴ γὰρ ἀλευόμενός τε χόλον ζηλήμονος Ἥρης
indeed for avoiding both anger of-jealous Hera
παρθενικῆς τ' ἐθέλων ἁταλὸν νόον ἐξαπατῆσαι
of-the-maiden and wishing tender mind to-deceive
κρύψε θεὸν καὶ τρέψε δέμας καὶ γείνετο ταῦρος,
hid the-god and changed body and became a-bull
οὐχ οἷος σταθμοῖς ἐνιφέρβεται, οὐδὲ μὲν οἷος
not such-as in-stalls feeds nor indeed such-as
ὦλκα διατμήγει σύρων εὐκαμπὲς ἄροτρον,
furrow cuts dragging well-curved plow
οὐδ' οἷος ποίμνης ἐπιβόσκεται, οὐδὲ μὲν οἷος
nor such-as on-the-flock grazes nor indeed such-as

ὅστις ὑποδμηθεὶς ἐρύει πολύφορτον ἀπήνην.
who tamed draws much-laden wagon

τοῦ δή τοι τὸ μὲν ἄλλο δέμας ξανθόχροον ἔσκε,
of-him indeed you-know the indeed rest body golden-colored was

κύκλος δ' ἀργύφεος μέσσῳ μάρμαιρε μετώπῳ,
circle and silver in-middle gleamed forehead

ὄσσε δ' ὑπογλαύσσεσκε καὶ ἵμερον ἀστράπτεσκεν.
eyes and glanced-softly and desire flashed

ἶσά τ' ἐπ' ἀλλήλοισι κέρα ἀνέτελλε καρήνου
equal and against each-other horns rose of-the-head

ἄντυγος ἡμιτόμου κεραῆς ἅτε κύκλα σελήνης.
of-rim half-cut horned like circles of-the-moon

ἦλυθε δ' ἐς λειμῶνα καὶ οὐκ ἐφόβησε φαανθείς
he-came and into meadow and not frightened appearing

παρθενικάς, πάσῃσι δ' ἔρως γένετ' ἐγγὺς ἰκέσθαι
the-maidens all and desire arose near to-come

ψαῦσαί θ' ἱμερτοῖο βοός, τοῦ δ' ἄμβροτος ὀδμή
to-touch and lovely bull of-him and ambrosial smell

τηλόθι καὶ λειμῶνος ἐκαίνυτο λαρὸν ἀϋτμήν.
from-afar even of-the-meadow surpassed sweet breath

στῆ δὲ ποδῶν προπάροιθεν ἀμύμονος Εὐρωπείης
he-stood and feet before of-blameless Europa

καί οἱ λιχμάζεσκε δέρην, κατέθελγε δὲ κούρην.
and her licked neck charmed and the-girl

ἣ δέ μιν ἀμφαφάασκε καὶ ἠρέμα χείρεσιν ἀφρόν
she and him stroked and gently with-hands foam

πολλὸν ἀπὸ στομάτων ἀπομόργνυτο καὶ κύσε ταῦρον.
much from mouth wiped-off and kissed the-bull

αὐτὰρ ὃ μειλίχιον μυκήσατο· φαῖό κεν αὐλοῦ
but he gently lowed you-would-say — of-flute

Μυγδονίου γλυκὺν ἦχον ἀνηπύοντος ἀκούειν.
Mygdonian sweet sound sounding to-hear
ὤκλασε δὲ πρὸ ποδοῖιν, ἐδέρκετο δ' Εὐρώπειαν
he-knelt and before feet looked and at-Europa
αὐχέν' ἐπιστρέψας καί οἱ πλατὺ δείκνυε νῶτον.
neck turning and to-her broad showed back
ἣ δὲ βαθυπλοκάμοισι μετέννεπε παρθενικῇσι·
she and to-deep-haired spoke-among maidens
'δεῦθ' ἑτάραι φίλιαι καὶ ὁμήλικες, ὄφρ' ἐπὶ τῷδε
come comrades dear and age-mates that on this
ἑζόμεναι ταύρῳ τερπώμεθα· δὴ γὰρ ἁπάσας
sitting on-the-bull let-us-delight indeed for all
νῶτον ὑποστορέσας ἀναδέξεται, οἷά τ' ἐνῆής
back spreading-under he-will-take-up as — gentle
πρηΰς τ' εἰσιδέειν καὶ μείλιχος, οὐδέ τι ταύροις
mild and to-look-at and gentle nor at-all to-bulls
ἄλλοισι προσέοικε· νόος δέ οἱ ἠΰτε φωτός
other is-like mind and his like of-a-man
αἴσιμος ἀμφιθέει, μούνης δ' ἐπιδεύεται αὐδῆς.'
fitting runs-about only and lacks speech
ὣς φαμένη νώτοισιν ἐφίζανε μειδιόωσα,
so saying on-the-back sat smiling
αἱ δ' ἄλλαι μέλλεσκον, ἄφαρ δ' ἀνεπήλατο ταῦρος,
the and others were-about at-once and leapt-up the-bull
ἣν θέλεν ἁρπάξας· ὠκὺς δ' ἐπὶ πόντον ἵκανεν.
whom he-wished having-seized swift and to sea came
ἣ δὲ μεταστρεφθεῖσα φίλας καλέεσκεν ἑταίρας
she and turning-round dear called comrades
χεῖρας ὀρεγνυμένη, ταὶ δ' οὐκ ἐδύναντο κιχάνειν.
hands stretching they and not could to-reach

ἀκτάων δ' ἐπιβὰς πρόσσω θέεν, ἠΰτε δελφίς
of-the-shores and stepping-on forward ran like a-dolphin
χηλαῖς ἀβρεκτοῖσιν ἐπ' εὐρέα κύματα βαίνων.
with-hoofs unwetted on broad waves going
ἦ δὲ τότ' ἐρχομένοιο γαληνιάασκε θάλασσα,
the and then coming grew-calm sea
κήτεα δ' ἀμφὶς ἄταλλε Διὸς προπάροιθε ποδοῖιν,
sea-monsters and around gamboled of-Zeus before feet
γηθόσυνος δ' ὑπὲρ οἶδμα κυβίστεε βυσσόθε δελφίς.
rejoicing and over swell somersaulted from-the-depth dolphin
Νηρεΐδες δ' ἀνέδυσαν ὑπὲξ ἁλός, αἳ δ' ἄρα πᾶσαι
Nereids and rose from the-sea they and then all
κητείοις νώτοισιν ἐφήμεναι ἐστιχόωντο.
sea-monsters' on-backs sitting went-in-rows
καὶ δ' αὐτὸς βαρύδουπος ὑπεὶρ ἅλα Ἐννοσίγαιος
also and himself loud-sounding over sea Earth-shaker
κῦμα κατιθύνων ἁλίης ἠγεῖτο κελεύθου
wave directing of-sea led path
αὐτοκασιγνήτῳ· τοὶ δ' ἀμφί μιν ἠγερέθοντο
for-own-brother they and around him gathered
Τρίτωνες, πόντοιο βαρύθροοι αὐλητῆρες,
Tritons of-the-sea deep-voiced pipers
κόχλοισιν ταναοῖς γάμιον μέλος ἠπύοντες.
with-conches long marriage song sounding
ἦ δ' ἄρ' ἐφεζομένη Ζηνὸς βοέοις ἐπὶ νώτοις
she and then sitting of-Zeus ox-like on back
τῇ μὲν ἔχεν ταύρου δολιχὸν κέρας, ἐν χερὶ δ' ἄλλῃ
with-one indeed held of-bull long horn in hand and other
εἴρυε πορφυρέην κόλπου πτύχα, ὄφρα κε μή μιν
drew crimson of-robe fold that — not her

δεύοι ἐφελκόμενον πολιῆς ἁλὸς ἄσπετον ὕδωρ.
might-wet trailing of-gray sea boundless water
κολπώθη δ' ὤμοισι πέπλος βαθὺς Εὐρωπείης,
was-bellied and on-shoulders robe deep of-Europa
ἱστίον οἷά τε νηός, ἐλαφρίζεσκε δὲ κούρην.
sail like — of-ship lightened and the-girl
ἣ δ' ὅτε δὴ γαίης ἀπὸ πατρίδος ἦεν ἄνευθεν,
she and when indeed land from fatherland was far
φαίνετο δ' οὔτ' ἀκτή τις ἁλίρροθος οὔτ' ὄρος αἰπύ,
appeared and neither shore any sea-washed nor mountain steep
ἀλλ' ἀὴρ μὲν ἄνωθεν, ἔνερθε δὲ πόντος ἀπείρων,
but air indeed above below and sea boundless
ἀμφί ἑ παπτήνασα τόσην ἀνενείκατο φωνήν·
around herself looking-round such raised voice
'πῇ με φέρεις θεόταυρε, τίς ἔπλεο; πῶς δὲ κέλευθα
where me do-you-carry god-bull who are-you how and paths
ἀργαλέ' εἰλιπόδεσσι διέρχεαι, οὐδὲ θάλασσαν
grievous with-rolling-feet you-traverse nor sea
δειμαίνεις; νηυσὶν γὰρ ἐπίδρομός ἐστι θάλασσα
do-you-fear for-ships for over-runnable is sea
ὠκυάλοις, ταῦροι δ' ἁλίην τρομέουσιν ἀταρπόν.
swift-sailing bulls and sea tremble-at path
ποῖον σοὶ ποτὸν ἡδύ, τίς ἐξ ἁλὸς ἔσσετ' ἐδωδή;
what-kind to-you drink sweet what from sea will-be food
οὔθ' ἅλιοι δελφῖνες ἐπὶ χθονὸς οὔτε τι ταῦροι
neither sea dolphins on land nor at-all bulls
ἐν πόντῳ στιχόωσι, σὺ δὲ χθόνα καὶ κατὰ πόντον
in sea march you and land and over sea
ἄτρομος ἀΐσσεις, χηλαὶ δέ τοί εἰσιν ἐρετμά.
fearless dart hoofs and your are oars

ἦ τάχα καὶ γλαυκῆς ὑπὲρ ἠέρος ὑψόσ' ἀερθείς
truly perhaps also gray above air on-high lifted
εἴκελος αἰψηροῖσι πετήσεαι οἰωνοῖσιν.
like to-swift you-will-fly birds
ὤμοι ἐγὼ μέγα δή τι δυσάμμορος, ἥ ῥά τε δῶμα
ah-me I greatly indeed somewhat ill-fated who then — house
πατρὸς ἀποπρολιποῦσα καὶ ἑσπομένη βοῒ τῷδε
of-father leaving and following bull this
ξείνην ναυτιλίην ἐφέπω καὶ πλάζομαι οἴη.
strange voyage pursue and wander alone
ἀλλὰ σύ μοι μεδέων πολιῆς ἁλὸς Ἐννοσίγαιε
but you to-me ruler of-gray sea Earth-shaker
ἵλαος ἀντιάσειας, ὃν ἔλπομαι εἰσοράασθαι
gracious may-you-meet whom I-hope to-see
τόνδε κατιθύνοντα πλόον προκέλευθον ἐμεῖο.
this directing voyage leading-the-way of-me
οὐκ ἀθεεὶ γὰρ ταῦτα διέρχομαι ὑγρὰ κέλευθα.'
not without-god for these I-traverse wet paths
ὣς φάτο· τὴν δ' ὧδε προσεφώνεεν ἠΰκερως βοῦς·
so she-spoke her and thus addressed fair-horned bull
'θάρσει παρθενική, μὴ δείδιθι πόντιον οἶδμα.
take-heart maiden not fear sea swell
αὐτός τοι Ζεύς εἰμι, καὶ ἐγγύθεν εἴδομαι εἶναι
myself you-know Zeus I-am even from-near I-seem to-be
ταῦρος· ἐπεὶ δύναμαί γε φανήμεναι ὅττι θέλοιμι.
a-bull since I-can indeed to-appear whatever I-wish
σὸς δὲ πόθος μ' ἀνέηκε τόσην ἅλα μετρήσασθαι
your and longing me drove so-great sea to-measure
ταύρῳ ἐειδόμενον· Κρήτη δέ σε δέξεται ἤδη,
to-a-bull likened Crete and you will-receive soon

ἥ μ᾽ ἔθρεψε καὶ αὐτόν, ὅπῃ νυμφήϊα σεῖο
which me reared also myself where wedding your
ἔσσεται· ἐξ ἐμέθεν δὲ κλυτοὺς φιτύσεαι υἷας,
will-be from me and famous you-will-bear sons
οἳ σκηπτοῦχοι ἅπαντες ἐπιχθονίοισιν ἔσονται.᾽
who sceptered all among-men will-be
ὣς φάτο· καὶ τετέλεστο τά περ φάτο· φαίνετο μὲν δή
so he-spoke and were-accomplished which indeed he-spoke appeared indeed indeed
Κρήτη, Ζεὺς δὲ πάλιν σφετέρην ἀνελάζετο μορφήν,
Crete Zeus and again his-own took form
λῦσε δέ οἱ μίτρην, καί οἱ λέχος ἔντυον Ὧραι.
loosed and her girdle and her bed prepared the-Hours
ἡ δὲ πάρος κούρη Ζηνὸς γένετ᾽ αὐτίκα νύμφη
she and before maiden of-Zeus became at-once bride
καὶ Κρονίδῃ τέκνα τίκτε ∗∗∗
and to-son-of-Cronus children bore (lacuna)

Ἐπιτάφιος Βίωνος

III · LAMENT FOR BION

With a refrain calling on the Sicilian Muses, the poet mourns the pastoral singer Bion. All nature, the birds, Galatea, and the Loves lament him, and the cities mourn him more than they mourned their own poets. Unlike garden herbs, men do not revive; he died by poison. The poet wishes he could go down to Hades, as Orpheus did, to hear Bion sing, and bids him sing to Persephone, who might send him back.

Αἴλινά μοι στοναχεῖτε νάπαι καὶ Δώριον ὕδωρ,
Woe-woe for-me lament glens and Dorian water
καὶ ποταμοὶ κλαίοιτε τὸν ἱμερόεντα Βίωνα.
and rivers weep-for the lovely Bion
νῦν φυτά μοι μύρεσθε, καὶ ἄλσεα νῦν γοάοισθε,
now plants for-me mourn and groves now wail
ἄνθεα νῦν στυγνοῖσιν ἀποπνείοιτε κορύμβοις,
flowers now in-sullen breathe-out clusters
νῦν ῥόδα φοινίσσεσθε τὰ πένθιμα, νῦν ἀνεμῶναι,
now roses redden the mournful now anemones
νῦν ὑάκινθε λάλει τὰ σὰ γράμματα καὶ πλέον αἰαῖ
now hyacinth speak the your letters and more alas
λάμβανε τοῖς πετάλοισι· καλὸς τέθνακε μελικτάς.
take-on with-the petals fair is-dead singer
ἄρχετε Σικελικαί, τῶ πένθεος ἄρχετε Μοῖσαι.
begin Sicilian of-the dirge begin Muses
ἀδόνες αἱ πυκινοῖσιν ὀδυρόμεναι ποτὶ φύλλοις,
nightingales who in-thick lamenting among leaves
νάμασι τοῖς Σικελοῖς ἀγγείλατε τᾶς Ἀρεθοίσας,
to-the-streams the Sicilian announce — of-Arethusa
ὅττι Βίων τέθνακεν ὁ βουκόλος, ὅττι σὺν αὐτῷ
that Bion is-dead the cowherd that with him

καὶ τὸ μέλος τέθνακε καὶ ὤλετο Δωρὶς ἀοιδά.
also the song is-dead and perished Dorian song
ἄρχετε Σικελικαί, τῶ πένθεος ἄρχετε Μοῖσαι.
begin Sicilian of-the dirge begin Muses
Στρυμόνιοι μύρεσθε παρ' ὕδασιν αἴλινα κύκνοι,
Strymonian mourn by waters woe-woe swans
καὶ γοεροῖς στομάτεσσι μελίσδετε πένθιμον ᾠδάν,
and with-wailing mouths sing mournful song
οἵαν ὑμετέροις ποτὶ χείλεσι γῆρας ἀείδει,
such-as your on lips old-age sings
εἴπατε δ' αὖ κούραις Οἰαγρίσιν, εἴπατε πάσαις
tell and again to-the-maidens Oeagrian tell all
Βιστονίαις Νύμφαισιν 'ἀπώλετο Δώριος Ὀρφεύς.'
to-Bistonian Nymphs has-perished Dorian Orpheus
ἄρχετε Σικελικαί, τῶ πένθεος ἄρχετε Μοῖσαι.
begin Sicilian of-the dirge begin Muses
κεῖνος ὁ ταῖς ἀγέλαισιν ἐράσμιος οὐκέτι μέλπει,
he the to-the herds lovely no-longer sings
οὐκέτ' ἐρημαίαισιν ὑπὸ δρυσὶν ἥμενος ᾄδει,
no-longer lonely under oaks sitting sings
ἀλλὰ παρὰ Πλουτῆϊ μέλος Ληθαῖον ἀείδει.
but beside Pluto song of-Lethe he-sings
ὤρεα δ' ἐστὶν ἄφωνα, καὶ αἱ βόες αἱ ποτὶ ταύροις
the-mountains and are voiceless and the cows the by bulls
πλαζόμεναι γοάοντι καὶ οὐκ ἐθέλοντι νέμεσθαι.
wandering wail and not wish to-graze
ἄρχετε Σικελικαί, τῶ πένθεος ἄρχετε Μοῖσαι.
begin Sicilian of-the dirge begin Muses
σεῖο Βίων ἔκλαυσε ταχὺν μόρον αὐτὸς Ἀπόλλων,
your Bion wept swift doom himself Apollo

καὶ Σάτυροι μύροντο μελάγχλαινοί τε Πρίηποι·
and Satyrs mourned black-cloaked and Priapi
καὶ Πᾶνες στοναχεῦντι τὸ σὸν μέλος, αἴ τε καθ' ὕλαν
and Pans moan-for the your song the and in wood
Κρανίδες ὠδύραντο, καὶ ὕδατα δάκρυα γέντο.
Spring-nymphs lamented and waters tears became
Ἀχὼ δ' ἐν πέτραισιν ὀδύρεται, ὅττι σιωπᾷ
Echo and in rocks laments that in-silence
κοὐκέτι μιμεῖται τὰ σὰ χείλεα. σῷ δ' ἐπ' ὀλέθρῳ
and-no-longer mimics the your lips your and at death
δένδρεα καρπὸν ἔριψε, τὰ δ' ἄνθεα πάντ' ἐμαράνθη.
trees fruit cast the and flowers all withered
μάλων οὐκ ἔρρευσε καλὸν γλάγος, οὐ μέλι σίμβλων,
of-sheep not flowed fair milk not honey from-hives
κάτθανε δ' ἐν κηρῷ λυπεύμενον· οὐκέτι γὰρ δεῖ
it-died and in wax grieving no-longer for one-must
τῶ μέλιτος τῶ σῶ τεθνακότος αὐτὸ τρυγᾶσθαι.
of-the honey of-the your dead it to-gather
ἄρχετε Σικελικαί, τῶ πένθεος ἄρχετε Μοῖσαι.
begin Sicilian of-the dirge begin Muses
οὐ τόσον εἰναλίαισι παρ' ᾐόσι μύρατο Σειρήν,
not so-much seaside by shores mourned Siren
οὐδὲ τόσον ποκ' ἄεισεν ἐνὶ σκοπέλοισιν Ἀηδών,
nor so-much ever sang in rocks Nightingale
οὐδὲ τόσον θρήνησεν ἀν' ὤρεα μακρὰ Χελιδών,
nor so-much wailed over mountains tall Swallow
Ἀλκυόνος δ' οὐ τόσσον ἐπ' ἄλγεσιν ἴαχε Κῆϋξ,
of-Halcyon and not so-much at griefs cried Ceyx
οὐδὲ τόσον γλαυκοῖς ἐνὶ κύμασι κηρύλος ᾖδεν,
nor so-much gray in waves kingfisher sang

οὐ τόσον ἀᾠοισιν ἐν ἄγκεσι παῖδα τὸν Ἀοῦς
not so-much eastern in glens son the of-Dawn
ἱπτάμενος περὶ σᾶμα κινύρατο Μέμνονος ὄρνις,
flying round tomb lamented of-Memnon bird
ὅσσον ἀποφθιμένοιο κατωδύραντο Βίωνος.
as-much-as dead mourned Bion
ἄρχετε Σικελικαί, τῶ πένθεος ἄρχετε Μοῖσαι.
begin Sicilian of-the dirge begin Muses
ἀδονίδες πᾶσαί τε χελιδόνες, ἅς ποκ' ἔτερπεν,
nightingales all and swallows whom once he-delighted
ἃς λαλέειν ἐδίδασκε, καθεζόμεναι ποτὶ πρέμνοις
whom to-chatter he-taught sitting on trunks
ἀντίον ἀλλάλαισιν ἐκώκυον, αἳ δ' ὑπεφώνευν,
opposite to-each-other wailed they and answered
'ὄρνιθες λυπεῖσθ' αἱ πενθάδες, ἀλλὰ καὶ ἁμεῖς.'
birds grieve the mourning but also we
ἄρχετε Σικελικαί, τῶ πένθεος ἄρχετε Μοῖσαι.
begin Sicilian of-the dirge begin Muses
τίς ποτὶ σᾷ σύριγγι μελίξεται ὦ τριπόθητε,
who on your pipe will-play O thrice-longed-for
τίς δ' ἐπὶ σοῖς καλάμοις θήσει στόμα, τίς θρασὺς οὕτως;
who and on your reeds will-set mouth who bold so
εἰσέτι γὰρ πνείει τὰ σὰ χείλεα καὶ τὸ σὸν ἆσθμα,
still for breathe the your lips and the your breath
ἀχὼ δ' ἐν δονάκεσσι τεᾶς ἔτι βόσκετ' ἀοιδᾶς.
echo and among reeds of-your still feeds song
Πανὶ φέρω τὸ μέλισμα; τάχ' ἂν καὶ κεῖνος ἐρεῖσαι
to-Pan shall-I-bring the music perhaps — even he to-press
τὸ στόμα δειμαίνοι, μὴ δεύτερα σεῖο φέρηται.
the mouth would-fear lest second than-you he-carry-off

ἄρχετε Σικελικαί, τῶ πένθεος ἄρχετε Μοῖσαι.
begin Sicilian of-the dirge begin Muses
κλαίει καὶ Γαλάτεια τὸ σὸν μέλος, ἄν ποκ᾽ ἔτερπες
weeps also Galatea the your song whom once you-delighted
ἑζομέναν μετὰ σεῖο παρ᾽ ἀϊόνεσσι θαλάσσας.
sitting with you by shores of-the-sea
οὐ γὰρ ἴσον Κύκλωπι μελίσδεο· τὸν μὲν ἔφευγεν
not for like to-the-Cyclops you-sang him indeed fled
ἁ καλὰ Γαλάτεια, σὲ δ᾽ ἄδιον ἔβλεπεν ἄλμας.
the fair Galatea you and more-sweetly looked-on than-the-brine
καὶ νῦν λασαμένα τῶ κύματος ἐν ψαμάθοισιν
and now having-forgotten the wave on sands
ἔζετ᾽ ἐρημαίαισι, βόας δ᾽ ἔτι σεῖο νομεύει.
sits lonely cows and still your herds
ἄρχετε Σικελικαί, τῶ πένθεος ἄρχετε Μοῖσαι.
begin Sicilian of-the dirge begin Muses
πάντα τοι ὦ βούτα συγκάθανε δῶρα τὰ Μοισᾶν,
all with-you O cowherd died-together gifts the of-the-Muses
παρθενικᾶν ἐρόεντα φιλήματα, χείλεα παίδων,
of-maidens lovely kisses lips of-boys
καὶ στυγνοὶ περὶ σῶμα τεὸν κλαίουσιν Ἔρωτες.
and sullen round body your weep Loves
χἄ Κύπρις ποθέει σε πολὺ πλέον ἢ τὸ φίλημα,
and Cypris longs-for you much more than the kiss
τὸ πρώαν τὸν Ἄδωνιν ἀποθνᾴσκοντα φίλησεν.
which lately — Adonis dying she-kissed
τοῦτό τοι, ὦ ποταμῶν λιγυρώτατε, δεύτερον ἄλγος,
this to-you O of-rivers clearest second grief
τοῦτο, Μέλη, νέον ἄλγος. ἀπώλετο πρᾶν ποχ᾽ Ὅμηρος,
this Meles new grief perished lately once Homer

τῆνο τὸ Καλλιόπας γλυκερὸν στόμα, καί σε λέγοντι
that the of-Calliope sweet mouth and you they-say
μύρασθαι καλὸν υἷα πολυκλαύτοισι ῥείθροις,
mourned fair son with-much-wept streams
πᾶσαν δ' ἔπλησας φωνᾶς ἅλα· νῦν πάλιν ἄλλον
all and you-filled of-voice the-sea now again another
υἱέα δακρύεις, καινῷ δ' ἐπὶ πένθεϊ τάκῃ.
son you-weep new and on grief you-melt
ἀμφότεροι παγαῖς πεφιλημένοι, ὃς μὲν ἔπινε
both by-springs beloved one indeed drank
Παγασίδος κράνας, ὃ δ' ἔχεν πόμα τᾶς Ἀρεθοίσας.
of-Pegasus spring the-other and had drink — of-Arethusa
χὠ μὲν Τυνδαρέοιο καλὰν ἄεισε θύγατρα
and-the-one indeed of-Tyndareus fair sang daughter
καὶ Θέτιδος μέγαν υἷα καὶ Ἀτρεΐδαν Μενέλαον·
and of-Thetis great son and son-of-Atreus Menelaus
τῆνος δ' οὐ πολέμους, οὐ δάκρυα, Πᾶνα δ' ἔμελπε,
he but not wars not tears Pan and sang
καὶ βούτας ἐλίγαινε καὶ ἀείδων ἐνόμευε
and cowherds he-sang and singing pastured
καὶ σύριγγας ἔτευχε καὶ ἁδέα πόρτιν ἄμελγε
and pipes made and sweet heifer milked
καὶ παίδων ἐδίδασκε φιλήματα καὶ τὸν Ἔρωτα
and of-boys taught kisses and — Love
ἔτρεφεν ἐν κόλποισι καὶ ἤρεθε τὰν Ἀφροδίταν.
reared in bosom and roused — Aphrodite
ἄρχετε Σικελικαί, τῶ πένθεος ἄρχετε Μοῖσαι.
begin Sicilian of-the dirge begin Muses
πᾶσα Βίων θρηνεῖ σε κλυτὴ πόλις, ἄστεα πάντα.
every Bion laments you famous city towns all

Ἄσκρα μὲν γοάει σε πολὺ πλέον Ἡσιόδοιο·
Ascra indeed wails you much more than-Hesiod
Πίνδαρον οὐ ποθέοντι τόσον Βοιωτίδες ὕλαι·
Pindar not miss so-much Boeotian woods
οὐ τόσον Ἀλκαίῳ περιμύρατο Λέσβος ἐραννά·
not so-much Alcaeus mourned Lesbos lovely
οὐδὲ τόσον τὸν ἀοιδὸν ὀδύρατο Τήϊον ἄστυ·
nor so-much the singer lamented Teian town
σὲ πλέον Ἀρχιλόχοιο ποθεῖ Πάρος· ἀντὶ δὲ Σαπφοῦς
you more than-Archilochus misses Paros instead and Sappho
εἰσέτι σεῦ τὸ μέλισμα κινύρεται ἁ Μιτυλήνα.
still your the music laments — Mitylene
εἶ δὲ Συρακοσίοισι Θεόκριτος· αὐτὰρ ἐγώ τοι
you-are and to-Syracusans Theocritus but I to-you
Αὐσονικᾶς ὀδύνας μέλπω μέλος, οὐ ξένος ᾠδᾶς
of-Ausonian grief sing song not stranger to-song
βουκολικᾶς, ἀλλ' ἅντε διδάξαο σεῖο μαθητάς,
pastoral but which you-taught your disciples
κλαρονόμος μοίσας τᾶς Δωρίδος, ᾇ με γεραίρων
heir of-the-Muse the Dorian with-which me honoring
ἄλλοις μὲν τεὸν ὄλβον, ἐμοὶ δ' ἀπέλειπες ἀοιδάν.
to-others indeed your wealth to-me and you-left song
ἄρχετε Σικελικαί, τῶ πένθεος ἄρχετε Μοῖσαι.
begin Sicilian of-the dirge begin Muses
αἰαῖ, ταὶ μαλάχαι μέν, ἐπὰν κατὰ κᾶπον ὄλωνται,
alas the mallows indeed when in garden perish
ἠδὲ τὰ χλωρὰ σέλινα τό τ' εὐθαλὲς οὖλον ἄνηθον
and the green parsley the and flourishing curly dill
ὕστερον αὖ ζώοντι καὶ εἰς ἔτος ἄλλο φύοντι·
later again live and to year another grow

ἄμμες δ᾽ οἱ μεγάλοι καὶ καρτεροί, οἱ σοφοὶ ἄνδρες,
we and the great and strong the wise men
ὁππότε πρᾶτα θάνωμες, ἀνάκοοι ἐν χθονὶ κοίλᾳ
when once we-die unhearing in earth hollow
εὕδομες εὖ μάλα μακρὸν ἀτέρμονα νήγρετον ὕπνον.
sleep well very long endless unwaking sleep
καὶ σὺ μὲν ὣν σιγᾷ πεπυκασμένος ἔσσεαι ἐν γᾷ,
and you indeed then in-silence covered will-be in earth
ταῖς Νύμφαισι δ᾽ ἔδοξεν ἀεὶ τὸν βάτραχον ᾄδειν.
to-the Nymphs and it-seemed-good always the frog to-sing
ταῖς δ᾽ ἐγὼ οὐ φθονέοιμι· τὸ γὰρ μέλος οὐ καλὸν ᾄδει.
them and I not would-grudge the for song not fair it-sings
ἄρχετε Σικελικαί, τῶ πένθεος ἄρχετε Μοῖσαι.
begin Sicilian of-the dirge begin Muses
φάρμακον ἦλθε Βίων ποτὶ σὸν στόμα, φάρμακον ἤδες.
poison came Bion to your mouth poison you-knew
τοιούτοις χείλεσσι ποτέδραμε κοὐκ ἐγλυκάνθη;
to-such lips it-ran and-not was-sweetened
τίς δὲ βροτὸς τοσσοῦτον ἀνάμερος ὡς κεράσαι τοι
what and mortal so savage as to-mix for-you
ἢ δοῦναι καλέοντι τὸ φάρμακον; ἔκφυγεν ᾠδάν.
or to-give calling the poison escaped song
ἄρχετε Σικελικαί, τῶ πένθεος ἄρχετε Μοῖσαι.
begin Sicilian of-the dirge begin Muses
ἀλλὰ Δίκα κίχε πάντας· ἐγὼ δ᾽ ἐπὶ πένθεϊ τῷδε
but Justice overtook all I and at grief this
δακρυχέων τεὸν οἶτον ὀδύρομαι. εἰ δυνάμαν δέ,
weeping your fate lament if I-could but
ὡς Ὀρφεὺς καταβὰς ποτὶ Τάρταρον, ὥς ποκ᾽ Ὀδυσσεύς,
as Orpheus going-down to Tartarus as once Odysseus

ὡς πάρος Ἀλκείδας, κἠγὼ τάχ᾽ ἂν ἐς δόμον ἦλθον
as before Alcides also-I perhaps — to house would-have-come
Πλουτέος, ὥς κεν ἴδοιμι, καὶ εἰ Πλουτῆι μελίσδῃ,
of-Pluto that — I-might-see and if to-Pluto you-sing
ὡς ἂν ἀκουσαίμαν, τί μελίσδεαι. ἀλλ᾽ ἄγε Κώρᾳ
that — I-might-hear what you-sing but come to-the-Maid
Σικελικόν τι λίγαινε καὶ ἁδύ τι βουκολιάζευ.
Sicilian some sing and sweet some sing-pastoral
καὶ κείνα Σικελὰ καὶ ἐν Αἰτναίαισιν ἔπαιζεν
and she Sicilian and in Etnaean played
ἀιόσιν· μέλος οἶδε τὸ Δώριον· οὐκ ἀγέραστος
shores song knows the Dorian not unrewarded
ἐσσεῖθ᾽ ἁ μολπά, χὠς Ὀρφέϊ πρόσθεν ἔδωκεν
will-be the song and-as to-Orpheus before she-gave
ἁδέα φορμίζοντι παλίσσυτον Εὐρυδίκειαν,
sweetly playing-the-lyre returning Eurydice
καὶ σὲ Βίων πέμψει τοῖς ὤρεσιν. εἰ δέ τι κἠγών
and you Bion she-will-send to-the mountains if but at-all also-I
συρίσδων δυνάμαν, παρὰ Πλουτέϊ κ᾽ αὐτὸς ἄειδον.
piping could beside Pluto — myself would-sing

Μέγαρα

IV · MEGARA

Megara, wife of Heracles, laments to his mother Alcmena that he killed their children in madness and now toils far away. Alcmena comforts her with affection and recounts an ominous dream: Heracles digging a trench was surrounded by fire, and Iphicles, trying to help, fell and could not rise. She prays that the omen turn on Eurystheus instead.

‘Μῆτερ ἐμή, τίφθ’ ὧδε φίλον κατὰ θυμὸν ἰάπτεις
Mother my why so dear in heart do-you-afflict
ἐκπάγλως ἀχέουσα, τὸ πρὶν δέ τοι οὐκέτ’ ἔρευθος
exceedingly grieving the before and your no-longer bloom
σῴζετ’ ἐπιρρεθέεσσι; τί μοι τόσον ἠνίησαι;
is-kept on-your-cheeks why to-me so-much are-you-grieved
ἦρ’ ὅτι ἄλγεα πάσχει ἀπείριτα φαίδιμος υἱός
is-it that pains suffers boundless glorious son
ἀνδρὸς ὕπ’ οὐτιδανοῖο, λέων ὡσείθ’ ὑπὸ νεβροῦ;
a-man by worthless a-lion as-if by a-fawn
ὤμοι ἐγώ, τί νυ δή με θεοὶ τόσον ἠτίμησαν
ah-me I why now indeed me the-gods so-much dishonored
ἀθάνατοι; τί νύ μ’ ὧδε κακῇ γονέες τέκον αἴσῃ;
immortal why now me thus with-evil parents bore fate
δύσμορος, ἥτ’ ἐπεὶ ἀνδρὸς ἀμύμονος ἐς λέχος ἦλθον,
ill-fated who since of-a-man blameless to bed I-came
τὸν μὲν ἐγὼ τίεσκον ἴσον φαέεσσιν ἐμοῖσιν
him indeed I honored equal to-eyes my
ἠδ’ ἔτι νῦν σέβομαί τε καὶ αἰδέομαι κατὰ θυμόν·
and still now revere both and respect in heart
τοῦ δ’ οὔτις γένετ’ ἄλλος ἀποτμότερος ζωόντων,
than-him and none was another more-ill-starred of-the-living

οὐδὲ τόσων σφετέρῃσιν ἐγεύσατο φροντίσι κηδέων.
nor so-many in-his-own tasted cares woes
σχέτλιος, ὃς τόξοισιν, ἃ οἱ πόρεν αὐτὸς Ἀπόλλων
wretch who with-the-bow which to-him gave himself Apollo
ἠέ τινος Κηρῶν ἢ Ἐρινύος αἰνὰ βέλεμνα,
or of-some of-the-Fates or of-a-Fury dread darts
παῖδας ἑοὺς κατέπεφνε καὶ ἐκ φίλον εἵλετο θυμόν
children his-own slew and out dear took life
μαινόμενος κατὰ οἶκον, ὃ δ' ἔμπλεος ἔσκε φόνοιο.
raving through house he and full was of-gore
τοὺς μὲν ἐγὼ δύστηνος ἐμοῖς ἴδον ὀφθαλμοῖσι
them indeed I wretched with-my saw eyes
βαλλομένους ὑπὸ πατρί, τὸ δ' οὐδ' ὄναρ ἤλυθεν ἄλλῳ.
shot by father the and not-even in-a-dream came to-another
οὐδέ σφιν δυνάμην ἀδινὸν καλέουσιν ἀρῆξαι
nor them could-I loudly calling to-help
μητέρ' ἐήν, ἐπεὶ ἐγγὺς ἀνίκητον κακὸν ἦεν.
mother their since near unconquerable evil was
ὡς δ' ὄρνις δύρηται ἐπὶ σφετέροισι νεοσσοῖς
as and a-bird laments over her-own nestlings
ὀλλυμένοις, οὕστ' αἰνὸς ὄφις ἔτι νηπιάχοντας
perishing whom dread serpent still babes
θάμνοις ἐν πυκινοῖσι κατεσθίει· ἡ δὲ κατ' αὐτούς
bushes in thick devours she and over them
πωτᾶται κλάζουσα μάλα λιγὺ πότνια μήτηρ,
flies crying very shrilly lady mother
οὐδ' ἄρ' ἔχει τέκνοισιν ἐπαρκέσαι· ἦ γάρ οἱ αὐτῇ
nor then can to-the-children to-help truly for to-her herself
ἆσσον ἴμεν μέγα τάρβος ἀμειλίκτοιο πελώρου·
nearer to-go great fear of-the-implacable monster

ὣς ἐγὼ αἰνοτόκεια φίλον γόνον αἰάζουσα
so I bearer-of-dread dear offspring bewailing
μαινομένοισι πόδεσσι δόμον κατὰ πολλὸν ἐφοίτων.
with-raging feet house through much I-roamed
ὥς γ' ὄφελον μετὰ παισὶν ἅμα θνῄσκουσα καὶ αὐτή
would indeed I-had with children together dying also myself
κεῖσθαι φαρμακόεντα δι' ἤπατος ἰὸν ἔχουσα,
to-lie poisoned through liver arrow having
Ἄρτεμι θηλυτέρῃσι μέγα κρείουσα γυναιξί.
Artemis female greatly ruling women
τῷ χ' ἡμᾶς κλαύσαντε φίλῃσ' ἐν χερσὶ τοκῆες
then — us having-wept dear in hands parents
πολλοῖς σὺν κτερέεσσι πυρῆς ἐπέβησαν ὁμοίης,
many with offerings pyre would-have-set-upon one
καί κεν ἕνα χρύσειον ἐς ὀστέα κρωσσὸν ἁπάντων
and — one golden for bones urn of-all
λέξαντες κατέθαψαν, ὅθι πρῶτον γενόμεσθα.
gathering would-have-buried where first we-were-born
νῦν δ' οἳ μὲν Θήβην ἱπποτρόφον ἐνναίουσιν
now and they indeed Thebes horse-rearing dwell
Ἀονίου πεδίοιο βαθεῖαν βῶλον ἀροῦντες·
of-Aonian plain deep clod plowing
αὐτὰρ ἐγὼ Τίρυνθα κατὰ κραναὴν πόλιν Ἥρης
but I Tiryns through rugged city of-Hera
πολλοῖσιν δύστηνος ἰάπτομαι ἄλγεσιν ἦτορ
with-many wretched am-smitten pains in-heart
αἰὲν ὁμῶς· δακρύων δὲ πάρεστί μοι οὐδ' ἴ' ἐρωή.
always alike from-tears and is-at-hand to-me not-even any respite
ἀλλὰ πόσιν μὲν ὁρῶ παῦρον χρόνον ὀφθαλμοῖσιν
but husband indeed I-see little time with-eyes

οἴκῳ ἐν ἡμετέρῳ· πολέων γάρ οἱ ἔργον ἑτοῖμον
house in our of-many for to-him work ready
μόχθων, τοὺς ἐπὶ γαῖαν ἀλώμενος ἠδὲ θάλασσαν
labors which over earth wandering and sea
μοχθίζει πέτρης ὅγ' ἔχων νόον ἠὲ σιδήρου
he-toils of-rock he having mind or of-iron
καρτερὸν ἐν στήθεσσι· σὺ δ' ἠύτε λείβεται ὕδωρ,
strong in breast you and like trickles water
νύκτας τε κλαίουσα καὶ ἐκ Διὸς ἤματ' ὀπόσσα.
nights both weeping and from Zeus days as-many-as
ἄλλος μὰν οὐκ ἄν τις ἐϋφρήναι με παραστάς
another indeed not — any would-cheer me standing-by
κηδεμόνων· οὐ γάρ σφε δόμων κατὰ τεῖχος ἐέργει.
of-kinsmen not for them of-the-house within wall keeps
καὶ λίην πάντες γε πέρην πιτυώδεος Ἰσθμοῦ
and very all indeed beyond the-pine-clad Isthmus
ναίουσ', οὐδέ μοί ἐστι πρὸς ὅντινά κε βλέψασα
dwell nor to-me is to whom — looking
οἷα γυνὴ πανάποτμος ἀναψύξαιμι φίλον κῆρ,
as woman all-hapless I-might-refresh dear heart
νόσφι γε δὴ Πύρρης συνομαίμονος· ἣ δὲ καὶ αὐτή
except indeed indeed Pyrrha sister she and also herself
ἀμφὶ πόσει σφετέρῳ πλέον ἄχνυται Ἰφικλῆι,
about husband her-own more grieves Iphicles
σῷ υἱεῖ· πάντων γὰρ ὀϊζυρώτατα τέκνα
your son of-all for most-wretched children
γείνασθαί σε θεῷ τε καὶ ἀνέρι θνητῷ ἔολπα.'
to-have-borne you to-god both and to-man mortal I-think
ὣς ἄρ' ἔφη· τὰ δέ οἱ θαλερώτερα δάκρυα μήλων
so then she-spoke the and her plumper tears than-apples

κόλπον ἐς ἱμερόεντα κατὰ γλαφυρῶν ἐχέοντο,
bosom into lovely down hollow-cheeks poured
μνησαμένῃ τέκνων τε καὶ ὧν μετέπειτα τοκήων.
remembering children both and her afterward parents
ὣς δ' αὔτως δακρύοισι παρήϊα λεύκ' ἐδίαινεν
so and likewise with-tears cheeks white wetted
Ἀλκμήνη· βαρὺ δ' ἤγε καὶ ἐκ θυμοῦ στενάχουσα
Alcmena heavily and she and from heart groaning
μύθοισιν πυκινοῖσι φίλην νυὸν ὧδε μετηύδα·
with-words shrewd dear daughter-in-law thus addressed
'δαιμονίη παίδων, τί νύ τοι φρεσὶν ἔμπεσε τοῦτο
strange-one of-children why now to-you into-mind fell this
πευκαλίμῃς; πῶς ἄμμ' ἐθέλεις ὀροθυνέμεν ἄμφω
prudent how us do-you-wish to-rouse both
κήδε' ἄλαστα λέγουσα; τὰ δ' οὐ νῦν πρῶτα κέκλαυται.
woes unforgettable telling the and not now first are-wept
ἦ οὐχ ἅλις, οἷς ἐχόμεσθα τὸ δεύτατον αἰὲν ἐπ' ἦμαρ
truly not enough of-which we-are-held the next always over day
γινομένοις; μάλα μέν γε φιλοθρηνής κέ τις εἴη,
arising very indeed indeed fond-of-lament — someone would-be
ὅστις ἀριθμηθεῖσιν ἐφ' ἡμετέροις ἀχέεσσι.
who on-being-counted over our griefs
θαρσοίη· τοιῆσδ' ἐκυρήσαμεν ἐκ θεοῦ αἴσης.
let-one-take-heart such we-met from god fate
καὶ δ' αὐτὴν ὁρόω σε φίλον τέκος ἀτρύτοισιν
also and yourself I-see you dear child with-unceasing
ἄλγεσι μοχθίζουσαν· ἐπιγνώμων δέ τοί εἰμι
pains toiling forgiving and to-you I-am
ἀσχαλάαν, ὅτε δή γε καὶ εὐφροσύνης κόρος ἐστί.
to-chafe when indeed indeed even of-cheer satiety is

καί σε μάλ᾽ ἐκπάγλως ὀλοφύρομαι ἠδ᾽ ἐλεαίρω,
and you very exceedingly I-lament and pity
οὕνεκεν ἡμετέροιο λυγροῦ μετὰ δαίμονος ἔσχες,
because our baneful with fate you-had
ὅσθ᾽ ἡμῖν ἐφύπερθε κάρης βαρὺς αἰωρεῖται.
which us above head heavy hangs
ἴστω γὰρ Κούρη τε καὶ εὐέανος Δημήτηρ,
let-know for the-Maiden both and fair-robed Demeter
ἅς κε μέγα βλαφθείς τις ἑκὼν ἐπίορκον ὀμόσσαι
by-whom — greatly harmed someone willingly falsely would-swear
εὔχομ᾽ ἐγὼ μηθέν σε χερειότερον φρεσὶν ἦσι
I-pray I not-at-all you worse in-mind own
στέργειν ἢ εἴπερ μοι ὑπὲκ νηδυόφιν ἦλθες
to-love than if to-me from womb you-came
καί μοι τηλυγέτη ἐνὶ δώμασι παρθένος ἦσθα.
and to-me only-daughter in house maiden you-were
οὐδ᾽ αὐτήν γέ νυ πάμπαν ἔολπά σε τοῦτό γε λήθειν.
not yourself indeed now wholly I-think you this indeed to-escape
τῷ μή μ᾽ ἐξείπῃς ποτ᾽, ἐμὸν θάλος, ὥς σευ ἀκηδέω.
therefore not me say ever my blossom that you I-neglect
μηδ᾽ εἴ κ᾽ ἠϋκόμου Νιόβης πυκινώτερα κλαίω.
nor if — than-fair-haired Niobe more-often I-weep
οὐδ᾽ ὡς γὰρ νεμεσητὸν ὑπὲρ τέκνου γοάασθαι
not-even so for blameworthy for child to-wail
μητέρι δυσπαθέοντος· ἐπεὶ δέκα μῆνας ἔκαμνον
for-a-mother suffering since ten months I-toiled
†πρὶν καὶ πέρ τ᾽ ἰδέειν μιν, ἐμῷ ὑπὸ ἧπατ᾽ ἔχουσα,†
before even indeed and to-see him my under liver having
καί με πυλάρταο σχεδὸν ἤγαγεν Αἰδωνῆος·
and me the-gate-keeper near brought Aidoneus

ὧδέ ἑ δυστοκέουσα κακὰς ὠδῖνας ἀνέτλην.
so him in-hard-labor evil pangs I-endured
νῦν δέ μοι οἴχεται υἱὸς ἐπ᾽ ἀλλοτρίης νέον ἆθλον
now and from-me is-gone my-son on strange-land new labor
ἐκτελέων· οὐδ᾽ οἶδα δυσάμμορος, εἴτε μιν αὖτις
accomplishing nor know-I ill-fated whether him again
90 ἐνθάδε νοστήσανθ᾽ ὑποδέξομαι, εἴτε καὶ οὐκί.
here returned I-shall-receive or also not
πρὸς δ᾽ ἔτι μ᾽ ἐπτοίησε διὰ γλυκὺν αἰνὸς ὄνειρος
besides and still me terrified through sweet dread dream
ὕπνον· δειμαίνω δὲ παλίγκοτον ὄψιν ἰδοῦσα
sleep I-fear and adverse vision having-seen
ἐκπάγλως, μή μοί τι τέκνοις ἀποθύμιον ἔρπῃ.
exceedingly lest to-me something to-children hateful should-come
εἴσατο γάρ μοι ἔχων μακέλην εὐεργέα χερσί
seemed for to-me having a-mattock well-made in-hands
95 παῖς ἐμὸς ἀμφοτέρῃσι, βίη Ἡρακληείη·
son my both might Heraclean
τῇ μεγάλην ἐλάχαινε δεδεγμένος ὡς ἐπὶ μισθῷ
with-it great dug having-taken-on as for wage
τάφρον τηλεθάοντος ἐπ᾽ ἐσχατιῇ τινος ἀγροῦ,
trench of-flourishing on edge some field
γυμνὸς ἄτερ χλαίνης τε καὶ εὐμίτροιο χιτῶνος.
naked without cloak both and well-girt tunic
αὐτὰρ ἐπειδὴ παντὸς ἀφίκετο πρὸς τέλος ἔργου
but when of-all he-came to end work
100 καρτερὸν οἰνοφόροιο πονεύμενος ἕρκος ἀλωῆς,
strong of-wine-bearing toiling fence vineyard
ἤτοι ὁ λίστρον ἔμελλεν ἐπὶ προύχοντος ἐρείσας
truly he spade was-about on projecting leaning

ἀνδήρου καταδῦναι ἃ καὶ πάρος εἵματα ἕστο·
mound to-put-on which also before clothes he-wore
ἐξαπίνης δ᾽ ἀνέλαμψεν ὑπὲρ καπέτοιο βαθείης
suddenly and blazed over trench deep
πῦρ ἄμοτον, περὶ δ᾽ αὐτὸν ἀθέσφατος εἱλεῖτο φλόξ.
fire insatiable round and him unspeakable rolled flame
αὐτὰρ ὅγ᾽ αἰὲν ὄπισθε θοοῖς ἀνεχάζετο ποσσίν,
but he always backward with-swift withdrew feet
ἐκφυγέειν μεμαὼς ὀλοὸν μένος Ἡφαίστοιο·
to-escape eager deadly might of-Hephaestus
αἰεὶ δὲ προπάροιθεν ἑοῦ χροὸς ἠΰτε γέρρον
always and before his body like a-shield
νώμασκεν μακέλην· περὶ δ᾽ ὄμμασιν ἔνθα καὶ ἔνθα
plied mattock around and with-eyes here and there
πάπταινεν, μὴ δή μιν ἐπιφλέξῃ δήιον πῦρ.
he-peered lest indeed him should-burn hostile fire
τῷ μὲν ἀοσσῆσαι λελιημένος, ὥς οἱ ἔϊκτο,
him indeed to-help longing as to-me seemed
Ἰφικλέης μεγάθυμος ἐπ᾽ οὔδεϊ κάππεσ᾽ ὀλισθὼν
Iphicles great-hearted on ground fell slipping
πρὶν ἐλθεῖν, οὐδ᾽ ὀρθὸς ἀναστῆναι δύνατ᾽ αὖτις,
before going nor upright to-rise could again
ἀλλ᾽ ἀστεμφὲς ἔκειτο, γέρων ὡσείτ᾽ ἀμενηνός,
but motionless lay old like strengthless
ὅντε καὶ οὐκ ἐθέλοντα βιήσατο γῆρας ἀτερπές
whom also not willing forces old-age joyless
καππεσέειν· κεῖται δ᾽ ὅγ᾽ ἐπὶ χθονὸς ἔμπεδον αὔτως,
to-fall lies and he on ground fixed just-so
εἰσόκε τις χειρός μιν ἀνειρύσσῃ παριόντων
until someone by-hand him raise of-the-passers

αἰδεσθεὶς ὄπιδα προτέρην πολιοῖο γενείου.
respecting reverence old of-gray beard
ὣς ἐν γῇ λελίαστο σακεσπάλος Ἰφικλείης·
so on earth lay shield-wielding Iphicles
αὐτὰρ ἐγὼ κλαίεσκον ἀμηχανέοντας ὁρῶσα
but I wept helpless seeing
παῖδας ἐμούς, μέχρι δή μοι ἀπέσσυτο νήδυμος ὕπνος
children my until indeed from-me sped sweet sleep
ὀφθαλμῶν, ἠὼς δὲ παραυτίκα φαινόλις ἦλθε.
eyes dawn and at-once bright came
τοῖα, φίλη, μοι ὄνειρα διὰ φρένας ἐπτοίησαν
such dear to-me dreams through mind fluttered
παννυχίῃ· τὰ δὲ πάντα πρὸς Εὐρυσθῆα τρέποιτο
all-night the and all to Eurystheus may-turn
οἴκου ἄφ' ἡμετέροιο, γένοιτο δὲ μάντις ἐκείνῳ
house from our may-be and seer to-him
θυμὸς ἐμός, μηδ' ἄλλο παρὲκ τελέσειέ τι δαίμων.'
heart my nor other beyond may-accomplish anything god

BION

ΑΔΩΝΙΔΟΣ ΕΠΙΤΑΦΙΟΣ

The Lament for Adonis

Ἀδώνιδος Ἐπιτάφιος

LAMENT FOR ADONIS

With the refrain "fair Adonis is dead," the poet mourns Adonis, killed by a boar on the mountains, and Aphrodite, who wanders the thickets weeping. She begs him for a last kiss and yields him to Persephone. Her tears become anemones, his blood roses. The Loves tend his body, the Graces and Fates lament, and Cypris is told to mourn again next year.

Αἰάζω τὸν Ἄδωνιν 'ἀπώλετο καλὸς Ἄδωνις.'
I-wail-for — Adonis has-perished fair Adonis
'ὤλετο καλὸς Ἄδωνις' ἐπαιάζουσιν Ἔρωτες.
has-perished fair Adonis wail-in-answer the-Loves
μηκέτι πορφυρέοις ἐνὶ φάρεσι Κύπρι κάθευδε·
no-longer purple in robes Cypris sleep
ἔγρεο δειλαία, κυανόστολα καὶ πλατάγησον
wake wretched dark-robed and beat
στήθεα καὶ λέγε πᾶσιν 'ἀπώλετο καλὸς Ἄδωνις.'
breast and say to-all has-perished fair Adonis
αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.
I-wail-for — Adonis wail-in-answer the-Loves
κεῖται καλὸς Ἄδωνις ἐν ὤρεσι μηρὸν ὀδόντι,
lies fair Adonis on the-mountains in-the-thigh by-the-tusk
λευκῷ λευκὸν ὀδόντι τυπείς, καὶ Κύπριν ἀνιᾖ
with-white white tusk struck and Cypris he-grieves
λεπτὸν ἀποψύχων· τὸ δέ οἱ μέλαν εἴβεται αἷμα
faintly breathing-out the and his dark drips blood
χιονέας κατὰ σαρκός, ὑπ' ὀφρύσι δ' ὄμματα ναρκῇ,
snowy down flesh under brows and eyes grow-numb
καὶ τὸ ῥόδον φεύγει τῶ χείλεος· ἀμφὶ δὲ τήνῳ
and the rose flees of-the lip about and him

θνᾴσκει καὶ τὸ φίλημα, τὸ μήποτε Κύπρις ἀποίσει.
dies also the kiss which never Cypris will-carry-off

Κύπριδι μὲν τὸ φίλημα καὶ οὐ ζώοντος ἀρέσκει,
to-Cypris indeed the kiss even not of-the-living pleases

ἀλλ᾽ οὐκ οἶδεν Ἄδωνις ὅ μιν θνᾴσκοντα φίλησεν.
but not knows Adonis that him dying she-kissed

15 αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.
I-wail-for — Adonis wail-in-answer the-Loves

ἄγριον ἄγριον ἕλκος ἔχει κατὰ μηρὸν Ἄδωνις,
cruel cruel wound has in thigh Adonis

μεῖζον δ᾽ ἁ Κυθέρεια φέρει ποτικάρδιον ἕλκος.
greater but the Cytherean bears heart-deep wound

τῆνον μὲν περὶ παῖδα φίλοι κύνες ὠδύραντο
him indeed about the-boy dear hounds lamented

καὶ Νύμφαι κλαίουσιν ὀρειάδες· ἁ δ᾽ Ἀφροδίτα
and Nymphs weep of-the-mountains — and Aphrodite

20 λυσαμένα πλοκαμῖδας ἀνὰ δρυμὼς ἀλάληται
having-loosed tresses through thickets wanders

πενθαλέα νήπλεκτος ἀσάνδαλος, αἱ δὲ βάτοι νιν
mourning unbraided unsandaled the and brambles her

ἐρχομέναν κείροντι καὶ ἱερὸν αἷμα δρέπονται,
as-she-goes tear and sacred blood cull

ὀξὺ δὲ κωκύουσα δι᾽ ἄγκεα μακρὰ φορεῖται
shrilly and wailing through glens long is-borne

Ἀσσύριον βοόωσα πόσιν καὶ παῖδα καλεῦσα.
Assyrian crying husband and boy calling

25 ἀμφὶ δέ μιν μέλαν αἷμα παρ᾽ ὀμφαλὸν αἰωρεῖτο,
round and him dark blood by navel swirled

στήθεα δ᾽ ἐκ μηρῶν φοινίσσετο, τοὶ δ᾽ ὑπὸ μαζοί
breast and from thighs reddened the and under breasts

χιόνεοι τὸ πάροιθεν Ἀδώνιδι πορφύροντο.
snowy the before for-Adonis grew-crimson
‘αἰαῖ τὰν Κυθέρειαν’ ἐπαιάζουσιν Ἔρωτες.
alas the Cytherean wail-in-answer the-Loves
ὤλεσε τὸν καλὸν ἄνδρα, σὺν ὤλεσεν ἱερὸν εἶδος.
she-lost the fair husband with she-lost sacred beauty
Κύπριδι μὲν καλὸν εἶδος, ὅτε ζώεσκεν Ἄδωνις,
for-Cypris indeed fair beauty when lived Adonis
κάτθανε δ’ ἁ μορφὰ σὺν Ἀδώνιδι, τὰν Κύπριν αἰαῖ
died and the form with Adonis — Cypris alas
ὤρεα πάντα λέγοντι καὶ αἱ δρύες ‘αἰ τὸν Ἄδωνιν,’
mountains all say and the oaks alas — Adonis
καὶ ποταμοὶ κλαίοντι τὰ πένθεα τᾶς Ἀφροδίτας,
and rivers weep the sorrows — of-Aphrodite
καὶ παγαὶ τὸν Ἄδωνιν ἐν ὤρεσι δακρύοντι,
and springs — Adonis in mountains weep
ἄνθεα δ’ ἐξ ὀδύνας ἐρυθαίνεται, ἁ δὲ Κυθήρα
flowers and from grief redden — and Cytherea
πάντας ἀνὰ κναμώς, ἀνὰ πᾶν νάπος οἰκτρὸν ἀείδει
all through spurs through every glen piteously sings
‘αἰαῖ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.’
alas the Cytherean has-perished fair Adonis
ἀχὼ δ’ ἀντεβόασεν ‘ἀπώλετο καλὸς Ἄδωνις.’
echo and cried-back has-perished fair Adonis
Κύπριδος αἰνὸν ἔρωτα τίς οὐκ ἔκλαυσεν ἂν αἰαῖ;
of-Cypris dread love who not would-have-wept — alas
ὡς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδος ἄσχετον ἕλκος,
when she-saw when she-perceived of-Adonis unstanchable wound
ὡς ἴδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
when she-saw red blood withering round thigh

πάχεας ἀμπετάσασα κινύρετο ‘μεῖνον Ἄδωνι,
arms spreading-out she-lamented stay Adonis
δύσποτμε μεῖνον Ἄδωνι, πανύστατον ὥς σε κιχείω,
ill-starred stay Adonis last that you I-may-reach
ὥς σε περιπτύξω καὶ χείλεα χείλεσι μείξω.
that you I-may-embrace and lips with-lips I-may-mingle
ἔγρεο τυτθὸν Ἄδωνι, τὸ δ’ αὖ πύματόν με φίλησον,
wake a-little Adonis the and again last me kiss
τοσσοῦτόν με φίλησον, ὅσον ζώει τὸ φίλημα,
so-much me kiss as-long-as lives the kiss
ἄχρις ἀπὸ ψυχᾶς ἐς ἐμὸν στόμα κεἰς ἐμὸν ἦπαρ
until from soul into my mouth and-into my heart
πνεῦμα τεὸν ῥεύσῃ, τὸ δέ σευ γλυκὺ φίλτρον ἀμέλξω,
breath your flow the and your sweet love-charm I-may-drain
ἐκ δὲ πίω τὸν ἔρωτα, φίλημα δὲ τοῦτο φυλάξω
out and I-may-drink the love kiss and this I-will-keep
ὡς αὐτὸν τὸν Ἄδωνιν, ἐπεὶ σύ με δύσμορε φεύγεις,
as himself — Adonis since you me ill-fated flee
φεύγεις μακρὸν Ἄδωνι καὶ ἔρχεαι εἰς Ἀχέροντα
you-flee far Adonis and go to Acheron
καὶ στυγνὸν βασιλῆα καὶ ἄγριον, ἁ δὲ τάλαινα
and hateful king and cruel the and wretched
ζώω καὶ θεός ἐμμι καὶ οὐ δύναμαί σε διώκειν.
live and goddess am and not can you follow
λάμβανε Περσεφόνα τὸν ἐμὸν πόσιν, ἐσσὶ γὰρ αὐτά
take Persephone the my husband you-are for yourself
πολλὸν ἐμεῦ κρέσσων, τὸ δὲ πᾶν καλὸν ἐς σὲ καταρρεῖ.
much than-me stronger the and all fair to you flows-down
εἰμὶ δ’ ἐγὼ πανάποτμος, ἔχω δ’ ἀκόρεστον ἀνίαν,
am and I all-hapless have and insatiable grief

καὶ κλαίω τὸν Ἄδωνιν, ὅ μοι θάνε, καί σε φοβεῦμαι.
and weep-for — Adonis because for-me died and you I-fear
θνάσκεις ὦ τριπόθητε, πόθος δέ μοι ὡς ὄναρ ἔπτα,
you-die O thrice-longed-for longing and for-me like dream flew
χήρα δ' ἁ Κυθέρεια, κενοὶ δ' ἀνὰ δώματ' Ἔρωτες.
widowed and the Cytherean idle and through halls Loves
σοὶ δ' ἅμα κεστὸς ὅλωλε. τί γὰρ τολμηρὲ κυνάγεις;
with-you and together girdle has-perished why for rash-one do-you-hunt
καλὸς ἐὼν τοσσοῦτον ἐμήναο θηρὶ παλαίειν;'
fair being so-much were-you-mad with-beast to-wrestle
ὣδ' ὀλοφύρατο Κύπρις, ἐπαιάζουσιν Ἔρωτες,
thus lamented Cypris wail-in-answer the-Loves
'αἰαῖ τὰν Κυθέρειαν· ἀπώλετο καλὸς Ἄδωνις.'
alas the Cytherean has-perished fair Adonis
δάκρυον ἁ Παφία τόσσον χέει, ὅσσον Ἄδωνις
tear the Paphian as-much pours as-much-as Adonis
αἷμα χέει· τὰ δὲ πάντα ποτὶ χθονὶ γίνεται ἄνθη.
blood pours the and all on ground become flowers
αἷμα ῥόδον τίκτει, τὰ δὲ δάκρυα τὰν ἀνεμώναν.
blood rose bears the and tears the anemone
αἰάζω τὸν Ἄδωνιν, ἀπώλετο καλὸς Ἄδωνις.
I-wail-for — Adonis has-perished fair Adonis
μηκέτ' ἐνὶ δρυμοῖσι τὸν ἀνέρα μύρεο Κύπρι·
no-longer in thickets the husband mourn Cypris
οὐκ ἀγαθὰ στιβάς ἐστιν Ἀδώνιδι φυλλὰς ἐρήμα·
not good bed is for-Adonis leafage lonely
λέκτρον ἔχοι Κυθέρεια τὸ σὸν νῦν νεκρὸς Ἄδωνις,
bed let-have Cytherea the your now dead Adonis
καὶ νέκυς ὢν καλός ἐστι, καλὸς νέκυς, οἷα καθεύδων.
even dead being fair he-is fair corpse as-if sleeping

κάτθεό νιν μαλακοῖς ἐνὶ φάρεσιν οἷς ἐνίαυεν,
lay him soft in robes in-which he-slept
οἷς μετὰ τεῦς ἀνὰ νύκτα τὸν ἱερὸν ὕπνον ἐμόχθει
in-which with you through night the sacred sleep he-labored
παγχρυσέῳ κλιντῆρι· ποθεῖ καὶ στυγνὸν Ἄδωνιν.
on-all-golden couch longs-for even sullen Adonis
βάλλε δέ νιν στεφάνοισι καὶ ἄνθεσι. πάντα σὺν αὐτῷ.
throw and him with-garlands and flowers all with him
ὡς τῆνος τέθνακε καὶ ἄνθεα πάντα μαράνθη.
as he has-died also flowers all have-withered
ῥαῖνε δέ νιν Συρίοισιν ἀλείφασι, ῥαῖνε μύροισιν.
sprinkle and him with-Syrian ointments sprinkle with-perfumes
ὀλλύσθω μύρα πάντα, τὸ σὸν μύρον ὤλετ' Ἄδωνις.
let-perish perfumes all the your perfume has-perished Adonis
κέκλιται ἁβρὸς Ἄδωνις ἐν εἵμασι πορφυρέοισιν,
reclines delicate Adonis in robes purple
ἀμφὶ δέ νιν κλαίοντες ἀναστενάχουσιν Ἔρωτες
round and him weeping groan the-Loves
κειράμενοι χαίτας ἐπ' Ἀδώνιδι. χὠ μὲν ὀϊστώς,
having-shorn hair for Adonis and-one indeed arrows
ὃς δ' ἐπὶ τόξον ἔβαλλεν, ὁ δὲ πτερόν, ὃς δὲ φαρέτραν.
another and on bow cast the-other and feather another and quiver
χὠ μὲν ἔλυσε πέδιλον Ἀδώνιδος, οἱ δὲ λέβητι
and-one indeed loosed sandal of-Adonis others and in-cauldron
χρυσείῳ φορέοισιν ὕδωρ, ὁ δὲ μηρία λούει,
golden bring water another and thighs washes
ὃς δ' ὄπιθεν πτερύγεσσιν ἀναψύχει τὸν Ἄδωνιν.
another and behind with-wings cools — Adonis
'αἰαῖ τὰν Κυθέρειαν' ἐπαιάζουσιν Ἔρωτες.
alas the Cytherean wail-in-answer the-Loves

ἔσβεσε λαμπάδα πᾶσαν ἐπὶ φλιαῖς Ὑμέναιος
quenched torch every at doorposts Hymenaeus
καὶ στέφος ἐξεπέτασσε γαμήλιον, οὐκέτι δ' ὑμήν,
and garland scattered nuptial no-longer and hymen
ὑμὴν οὐκέτ' ἄειδεν ἑὸν μέλος, ἀλλ' ἐπαείδει
hymen no-longer sang his song but sings-over
'αἰαῖ' καὶ 'τὸν Ἄδωνιν' ἔτι πλέον ἢ ὑμέναιον.
alas and — Adonis still more than wedding-song
αἱ Χάριτες κλαίοντι τὸν υἱέα τὸν Κινύραο
the Graces weep the son the of-Cinyras
'ὤλετο καλὸς Ἄδωνις' ἐν ἀλλάλαισι λέγοισαι,
has-perished fair Adonis among each-other saying
'αἰαῖ' δ' ὀξὺ λέγοντι πολὺ πλέον ἢ παιῶνα.
alas and shrilly they-say much more than paean
καὶ Μοῖραι τὸν Ἄδωνιν ἀνακλαίοισιν ἐν Ἅδα,
and Fates — Adonis bewail in Hades
καί νιν ἐπαείδουσιν, ὃ δέ σφισιν οὐχ ὑπακούει·
and him sing-spells-over he but to-them not hearkens
οὐ μὰν οὐκ ἐθέλει, Κώρα δέ νιν οὐκ ἀπολύει.
not indeed not he-wishes the-Maid and him not releases

λῆγε γόων Κυθέρεια τὸ σήμερον, ἴσχεο κομμῶν,
cease from-wails Cytherea the today refrain from-beatings
δεῖ σε πάλιν κλαῦσαι, πάλιν εἰς ἔτος ἄλλο δακρῦσαι.
must you again to-weep again to year another to-shed-tears

ARATUS

ΦΑΙΝΟΜΕΝΑ

Phaenomena

Aratus begins from Zeus, who fills all streets, markets, and seas, and whose children men are. Kindly to men, Zeus gives signs for work, setting the stars in heaven to mark the seasons for plowing and planting. The poet hails Zeus and asks the Muses to guide his song of the stars.

Ἐκ Διὸς ἀρχώμεσθα, τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν
From Zeus let-us-begin whom never men leave
ἄρρητον· μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,
unspoken full and of-Zeus all indeed streets
πᾶσαι δ' ἀνθρώπων ἀγοραί, μεστὴ δὲ θάλασσα
all and of-men market-places full and the-sea
καὶ λιμένες· πάντη δὲ Διὸς κεχρήμεθα πάντες.
and harbors everywhere and of-Zeus have-need all
τοῦ γὰρ καὶ γένος εἰμέν· ὁ δ' ἤπιος ἀνθρώποισιν
of-him for also offspring we-are he and kindly to-men
δεξιὰ σημαίνει, λαοὺς δ' ἐπὶ ἔργον ἐγείρει,
favorable-things signals peoples and to work rouses
μιμνήσκων βιότοιο, λέγει δ' ὅτε βῶλος ἀρίστη
reminding of-livelihood tells and when the-clod best
βουσί τε καὶ μακέλῃσι, λέγει δ' ὅτε δεξιαὶ ὧραι
for-oxen both and for-mattocks tells and when right seasons
καὶ φυτὰ γυρῶσαι καὶ σπέρματα πάντα βαλέσθαι.
both plants to-dig-round and seeds all to-cast
αὐτὸς γὰρ τά γε σήματ' ἐν οὐρανῷ ἐστήριξεν,
himself for these indeed signs in heaven fixed
ἄστρα διακρίνας, ἐσκέψατο δ' εἰς ἐνιαυτὸν
stars distinguishing considered and for the-year
ἀστέρας οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν
stars which — most well-wrought might-signify

ἀνδράσιν ὡράων, ὄφρ᾽ ἔμπεδα πάντα φύωνται.
to-men of-the-seasons that surely all may-grow
τῶ μιν ἀεὶ πρῶτόν τε καὶ ὕστατον ἱλάσκονται.
therefore him always first both and last they-propitiate
χαῖρε, πάτερ, μέγα θαῦμα, μέγ᾽ ἀνθρώποισιν ὄνειαρ,
hail father great wonder great to-men boon
αὐτὸς καὶ προτέρη γενεή. χαίροιτε δὲ Μοῦσαι
yourself and earlier race hail and Muses
μειλίχιαι μάλα πᾶσαι· ἐμοί γε μὲν ἀστέρας εἰπεῖν
gentle very all to-me indeed indeed the-stars to-tell
ᾗ θέμις εὐχομένῳ τεκμήρατε πᾶσαν ἀοιδήν.
as is-right praying guide all song

II · THE POLE AND THE NORTHERN FIGURES

The stars wheel daily about a fixed axis with two poles. Near the northern pole wheel the two Bears, raised to heaven from Crete for nursing the infant Zeus. The Greeks steer by Helice, the Phoenicians by Cynosura. The great Dragon winds between them. Near its head kneels the Kneeler, and beside him lie the Crown of Ariadne and the Serpent-holder, who treads on the Scorpion and holds the Snake.

Οἱ μὲν ὁμῶς πολέες τε καὶ ἄλλυδις ἄλλοι ἐόντες
They indeed alike many both and this-way that being
οὐρανῷ ἕλκονται πάντ᾽ ἤματα συνεχὲς αἰεί·
across-heaven are-drawn all days continuously always
αὐτὰρ ὅ γ᾽ οὐδ᾽ ὀλίγον μετανίσσεται, ἀλλὰ μάλ᾽ αὕτως
but it indeed not-even a-little shifts but very just-so
ἄξων αἰὲν ἄρηρεν, ἔχει δ᾽ ἀτάλαντον ἁπάντη
the-axis always is-fixed holds and balanced everywhere
μεσσηγὺς γαῖαν, περὶ δ᾽ οὐρανὸν αὐτὸν ἀγινεῖ.
in-the-middle the-earth round and heaven itself turns

καί μιν πειραίνουσι δύω πόλοι ἀμφοτέρωθεν·
and it end two poles on-both-sides
ἀλλ᾽ ὁ μὲν οὐκ ἐπίοπτος, ὁ δ᾽ ἀντίος ἐκ βορέαο
but the-one indeed not visible the-other and opposite from the-north
ὑψόθεν ὠκεανοῖο· δύω δέ μιν ἀμφὶς ἔχουσαι
above the-ocean two and it on-both-sides holding
Ἄρκτοι ἅμα τροχόωσι, τὸ δὴ καλέονται Ἅμαξαι.
Bears together wheel which indeed are-called Wagons
αἱ δ᾽ ἤτοι κεφαλὰς μὲν ἐπ᾽ ἰξύας αἰὲν ἔχουσιν
they and truly heads indeed toward flanks always have
ἀλλήλων, αἰεὶ δὲ κατωμάδιαι φορέονται,
of-each-other always and shoulder-wise are-borne
ἔμπαλιν εἰς ὤμους τετραμμέναι. εἰ ἐτεὸν δή,
backward to shoulders turned if truly indeed
Κρήτηθεν κεῖναί γε Διὸς μεγάλου ἰότητι
from-Crete they indeed of-Zeus great by-the-will
οὐρανὸν εἰσανέβησαν, ὅ μιν τότε κουρίζοντα
heaven went-up because him then a-boy
Δίκτῳ ἐν εὐώδει, ὄρεος σχεδὸν Ἰδαίοιο,
Dicte in fragrant the-mountain near Idaean
ἄντρῳ ἐγκατέθεντο καὶ ἔτρεφον εἰς ἐνιαυτόν,
in-a-cave laid and reared for a-year
Δικταῖοι Κούρητες ὅτε Κρόνον ἐψεύδοντο.
Dictaean Curetes when Cronus they-deceived
καὶ τὴν μὲν Κυνόσουραν ἐπίκλησιν καλέουσιν,
and the-one indeed Cynosura by-name they-call
τὴν δ᾽ ἑτέρην Ἑλίκην. Ἑλίκῃ γε μὲν ἄνδρες Ἀχαιοὶ
the and other Helice by-Helice indeed indeed men Achaean
εἰν ἁλὶ τεκμαίρονται ἵνα χρὴ νῆας ἀγινεῖν,
on the-sea judge where one-must ships to-steer

τῇ δ' ἄρα Φοίνικες πίσυνοι περόωσι θάλασσαν.
by-the-other and then Phoenicians trusting cross the-sea
ἀλλ' ἡ μὲν καθαρὴ καὶ ἐπιφράσσασθαι ἑτοίμη
but the-one indeed clear and to-perceive easy
πολλὴ φαινομένη Ἑλίκη πρώτης ἀπὸ νυκτός·
large appearing Helice first from night
ἡ δ' ἑτέρη ὀλίγη μέν, ἀτὰρ ναύτῃσιν ἀρείων·
the and other small indeed but for-sailors better
μειοτέρῃ γὰρ πᾶσα περιστρέφεται στροφάλιγγι·
in-smaller for all revolves circuit
τῇ καὶ Σιδόνιοι ἰθύντατα ναυτίλλονται.
by-it also Sidonians most-straightly sail
Τὰς δὲ δι' ἀμφοτέρας οἵη ποταμοῖο ἀπορρώξ
Them and between both like of-a-river a-branch
εἰλεῖται μέγα θαῦμα, Δράκων, περί τ' ἀμφί τ' ἐαγὼς
winds great wonder the-Dragon round both about and coiled
μυρίος· αἱ δ' ἄρα οἱ σπείρης ἑκάτερθε φέρονται
huge they and then on-it the-coil on-each-side are-borne
Ἄρκτοι, κυανέου πεφυλαγμέναι ὠκεανοῖο.
Bears of-dark-blue keeping-clear ocean
αὐτὰρ ὅ γ' ἄλλην μὲν νεάτῃ ἐπιτείνεται οὐρῇ,
but it indeed one indeed with-its-last stretches-over tail
ἄλλην δὲ σπείρῃ περιτέμνεται. ἡ μέν οἱ ἄκρη
the-other and with-a-coil cuts-around the indeed its tip
οὐρὴ πὰρ κεφαλὴν Ἑλίκης ἀποπαύεται Ἄρκτου·
tail beside the-head of-Helice ends Bear
σπείρῃ δ' ἐν Κυνόσουρα κάρη ἔχει· ἡ δὲ κατ' αὐτὴν
coil and in Cynosura head has she and along it
εἰλεῖται κεφαλὴν καί οἱ ποδὸς ἔρχεται ἄχρις,
winds head and its foot comes up-to

ἐκ δ' αὖτις παλίνορσος ἀνατρέχει. οὐ μὲν ἐκείνῃ
from and again back runs-up not indeed on-that
οἰόθεν οὐδ' οἷος κεφαλῇ ἐπιλάμπεται ἀστήρ,
alone nor alone on-head shines star
ἀλλὰ δύο κροτάφοις, δύο δ' ὄμμασιν· εἷς δ' ὑπένερθεν
but two on-temples two and on-eyes one and below
ἐσχατιὴν ἐπέχει γένυος δεινοῖο πελώρου.
the-edge holds of-the-jaw of-dread monster
λοξὸν δ' ἐστὶ κάρη, νεύοντι δὲ πάμπαν ἔοικεν
slanting and is the-head to-one-nodding and wholly it-is-like
ἄκρην εἰς Ἑλίκης οὐρήν· μάλα δ' ἐστὶ κατ' ἰθύ
tip to of-Helice tail very and is in line
καὶ στόμα καὶ κροτάφοιο τὰ δεξιὰ νειάτῳ οὐρῇ.
both mouth and of-temple the right with-the-last tail
κείνη που κεφαλὴ τῇ νίσσεται, ἦχί περ ἄκραι
that somewhere head there moves where indeed the-limits
μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσιν.
mingle settings both and risings with-each-other
Τῇδ' αὐτοῦ μογέοντι κυλίνδεται ἀνδρὶ ἐοικὸς
There right-there toiling wheels to-a-man like
εἴδωλον. τὸ μὲν οὔτις ἐπίσταται ἀμφαδὸν εἰπεῖν,
a-figure which indeed no-one knows-how clearly to-say

οὐδ' ὅτινι κρέμαται κεῖνος πόνῳ, ἀλλά μιν αὕτως
nor at-what hangs he labor but him just-so
Ἐγγόνασιν καλέουσι. τὸ δ' αὖτ' ἐν γούνασι κάμνον
Kneeler they-call it and again on knees laboring
ὀκλάζοντι ἔοικεν· ἀπ' ἀμφοτέρων δέ οἱ ὤμων
to-one-kneeling is-like from both and his shoulders
χεῖρες ἀείρονται· τάνυταί γε μὲν ἄλλυδις ἄλλη
hands are-raised stretched indeed indeed this-way that
ὅσσον ἐς ὀργυιήν· μέσσῳ δ' ἐφύπερθε καρήνῳ
as-much-as to a-fathom middle and above head
δεξιτεροῦ ποδὸς ἄκρον ἔχει σκολιοῖο Δράκοντος.
of-right foot the-tip holds of-crooked Dragon
Αὐτοῦ κἀκεῖνος Στέφανος, τὸν ἀγανὸς ἔθηκεν
There also-that Crown which glorious set
σῆμ' ἔμεναι Διόνυσος ἀποιχομένης Ἀριάδνης,
sign to-be Dionysus of-departed Ariadne
νώτῳ ὑποστρέφεται κεκμηότος Εἰδώλοιο.
at-the-back turns of-the-wearied Figure
Νώτῳ μὲν Στέφανος πελάει, κεφαλῇ γε μὲν ἄκρῃ
At-back indeed Crown approaches head indeed indeed at-the-top
σκέπτεο πὰρ κεφαλὴν Ὀφιούχεον, ἐκ δ' ἄρ' ἐκείνης
look by the-head of-Serpent-holder from and then that
αὐτὸν ἐπιφράσσαιο φαεινόμενον Ὀφιοῦχον·
him you-may-perceive shining Serpent-holder
τοῖοί οἱ κεφαλῇ ὑποκείμενοι ἀγλαοὶ ὦμοι
such to-him head lying-under bright shoulders
εἴδονται· κεῖνοί γε καὶ ἂν διχόμηνι σελήνῃ
appear they indeed even — at-full moon
εἰσωποὶ τελέθοιεν· ἀτὰρ χέρες οὐ μάλα ἶσαι·
visible would-be but hands not very equal

λεπτὴ γὰρ καὶ τῇ καὶ τῇ ἐπιδέδρομεν αἴγλη.
faint for both here and there runs-over light

ἀλλ᾽ ἔμπης κἀκεῖναι ἐπόψιαι· οὐ γὰρ ἐλαφραί·
but nevertheless also-they visible not for slight

ἀμφότεραι δ᾽ Ὄφιος πεπονήαται, ὅς ῥά τε μέσσον
both and with-the-Serpent toil which then — middle

δινεύει Ὀφιοῦχον· ὁ δ᾽ ἐμμενὲς εὖ ἐπαρηρὼς
whirls Serpent-holder he and steadily well fixed

ποσσὶν ἐπιθλίβει μέγα θηρίον ἀμφοτέροισιν,
with-feet tramples great beast both

Σκορπίον, ὀφθαλμῷ τε καὶ ἐν θώρηκι βεβηκὼς
Scorpion on-eye both and on breast standing

ὀρθός. ἀτάρ οἱ Ὄφις γε δύω στρέφεται μετὰ χερσίν,
upright but his Serpent indeed two turns among hands

δεξιτερῇ ὀλίγος, σκαιῇ γε μὲν ὑψόθι πολλός.
on-right small on-left indeed indeed high large

Καὶ δή οἱ Στεφάνῳ παρακέκλιται ἄκρα γένεια,
And indeed its to-the-Crown lies-beside the-tip jaws

νειόθι δὲ σπείρης μεγάλας ἐπιμαίεο Χηλάς.
below and the-coil great seek Claws

ἀλλ᾽ αἱ μὲν φαέων ἐπιδευέες, οὐδὲν ἀγαυαί.
but they indeed of-lights lacking nothing glorious

Behind Helice follows Bootes, the Ox-driver, with bright Arcturus. Under his feet is the Maiden with her ear of grain, who once, as Justice, lived among men in the golden age. She withdrew to the mountains in the silver age and to heaven in the bronze age, when men first forged swords. A bright star shines over her shoulder, and other stars near her wheel without names.

Ἐξόπιθεν δ' Ἑλίκης φέρεται ἐλάοντι ἐοικὼς
Behind and Helice is-borne to-one-driving like
Ἀρκτοφύλαξ, τόν ῥ' ἄνδρες ἐπικλείουσι Βοώτην,
Bear-ward whom then men call Bootes
οὕνεχ' ἁμαξαίης ἐπαφώμενος εἴδεται Ἄρκτου.
because of-the-wagon touching he-seems Bear
καὶ μάλα πᾶς ἀρίδηλος· ὑπὸ ζώνῃ δέ οἱ αὐτὸς
and very all conspicuous under girdle and his own
ἐξ ἄλλων Ἀρκτοῦρος ἑλίσσεται ἀμφαδὸν ἀστήρ.
from others Arcturus wheels clearly star
Ἀμφοτέροισι δὲ ποσσὶν ὕπο σκέπτοιο Βοώτεω
Both and feet under you-may-see of-Bootes
Παρθένον, ἥ ῥ' ἐν χερσὶ φέρει Στάχυν αἰγλήεντα.
the-Maiden who then in hands bears the-Ear gleaming
εἴτ' οὖν Ἀστραίου κείνη γένος, ὅν ῥά τέ φασιν
whether then of-Astraeus she race whom then — they-say
ἄστρων ἀρχαῖον πατέρ' ἔμμεναι, εἴτε τευ ἄλλου,
of-stars ancient father to-be or of-some other
εὔκηλος φορέοιτο· λόγος γε μὲν ἐντρέχει ἄλλος
untroubled may-she-be-borne story indeed indeed runs another
ἀνθρώποις, ὡς δῆθεν ἐπιχθονίη πάρος ἦεν,
among-men that surely on-earth before she-was

ἦρχετο δ᾽ ἀνθρώπων κατεναντίη, οὐδέ ποτ᾽ ἀνδρῶν
she-came and of-men face-to-face nor ever of-men
οὐδέ ποτ᾽ ἀρχαίων ἠνήνατο φῦλα γυναικῶν,
nor ever of-ancient refused tribes women
ἀλλ᾽ ἀναμὶξ ἐκάθητο, καὶ ἀθανάτη περ ἐοῦσα.
but mingled sat and immortal though being
καί ἑ Δίκην καλέεσκον· ἀγειρομένη δὲ γέροντας,
and her Justice they-called gathering and elders
ἠέ που εἰν ἀγορῇ ἢ εὐρυχόρῳ ἐν ἀγυιῇ,
either somewhere in market-place or broad in street
δημοτέρας ἤειδεν ἐπισπέρχουσα θέμιστας.
public sang urging judgments
οὔπω λευγαλέου τότε νείκεος ἠπίσταντο
not-yet of-baneful then strife they-knew
οὐδὲ διακρίσιος πολυμεμφέος οὐδὲ κυδοιμοῦ,
nor of-division much-blamed nor of-tumult
αὔτως δ᾽ ἔζωον· χαλεπὴ δ᾽ ἀπέκειτο θάλασσα,
just-so and they-lived harsh and lay-apart sea
καὶ βίον οὔπω νῆες ἀπόπροθεν ἠγίνεσκον,
and livelihood not-yet ships from-afar brought
ἀλλὰ βόες καὶ ἄροτρα καὶ αὐτή, πότνια λαῶν,
but oxen and plows and herself lady of-peoples
μυρία πάντα παρεῖχε Δίκη, δώτειρα δικαίων.
countless all provided Justice giver of-just-things
τόφρ᾽ ἦν, ὄφρ᾽ ἔτι γαῖα γένος χρύσειον ἔφερβεν.
so-long she-was as still earth race golden fed
ἀργυρέῳ δ᾽ ὀλίγῃ τε καὶ οὐκέτι πάμπαν ἑτοίμῃ
with-silver and little both and no-longer wholly ready
ὠμίλει, ποθέουσα παλαιῶν ἤθεα λαῶν.
she-consorted longing-for of-ancient ways peoples

ἀλλ᾽ ἔμπης ἔτι κεῖνο κατ᾽ ἀργύρεον γένος ἦεν·
but nevertheless still that during silver race was
ἤρχετο δ᾽ ἐξ ὀρέων ὑποδείελος ἠχηέντων
she-came and from mountains at-evening echoing
μουνάξ, οὐδέ τεῳ ἐπεμίσγετο μειλιχίοισιν·
alone nor with-anyone mingled with-gentle-words
ἀλλ᾽ ὁπότ᾽ ἀνθρώπων μεγάλας πλήσαιτο κολώνας,
but when of-men great she-filled hills
ἠπείλει δὴ ἔπειτα καθαπτομένη κακότητος,
she-threatened indeed then rebuking evil
οὐδ᾽ ἔτ᾽ ἔφη εἰσωπὸς ἐλεύσεσθαι καλέουσιν·
nor more she-said visible to-come to-those-calling
“οἵην χρύσειοι πατέρες γενεὴν ἐλίποντο
such golden fathers race left
χειροτέρην· ὑμεῖς δὲ κακώτερα τεξείεσθε.
worse you and worse will-beget
καὶ δή που πόλεμοι, καὶ δὴ καὶ ἀνάρσιον αἷμα
and indeed somewhere wars and indeed also unnatural blood
ἔσσεται ἀνθρώποισι, κακὸν δ᾽ ἐπικείσεται ἄλγος.”
will-be to-men evil and will-lie-upon pain
ὣς εἰποῦσ᾽ ὀρέων ἐπεμαίετο, τοὺς δ᾽ ἄρα λαοὺς
so saying the-mountains she-sought them and then peoples
εἰς αὐτὴν ἔτι πάντας ἐλίμπανε παπταίνοντας.
toward her still all she-left gazing
ἀλλ᾽ ὅτε δὴ κἀκεῖνοι ἐτέθνασαν, οἱ δ᾽ ἐγένοντο,
but when indeed even-they had-died they and were-born
χαλκείη γενεή, προτέρων ὀλοώτεροι ἄνδρες,
bronze race than-earlier more-baneful men

οἳ πρῶτοι κακόεργον ἐχαλκεύσαντο μάχαιραν
who first evil-working forged sword
εἰνοδίην, πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων,
of-the-highway first and of-oxen tasted plowing
καὶ τότε μισήσασα Δίκη κείνων γένος ἀνδρῶν
and then hating Justice of-those race men
ἔπταθ' ὑπουρανίη· ταύτην δ' ἄρα νάσσατο χώρην,
flew to-heaven this and then dwelt-in place
ἦχί περ ἐννυχίη ἔτι φαίνεται ἀνθρώποισιν
where indeed by-night still appears to-men
Παρθένος, ἐγγὺς ἐοῦσα πολυσκέπτοιο Βοώτεω.
the-Maiden near being much-gazed-at Bootes
Τῆς ὑπὲρ ἀμφοτέρων ὤμων εἱλίσσεται ἀστὴρ
Of-her over both shoulders wheels a-star
τόσσος μὲν μεγέθει, τοίῃ δ' ἐγκείμενος αἴγλῃ,
so-great indeed in-size in-such and set brightness
οἷος καὶ μεγάλης οὐρὴν ὑποφαίνεται Ἄρκτου.
as also of-great the-tail shows-under Bear
δεινὴ γὰρ κείνη, δεινοὶ δέ οἱ ἐγγύθεν εἰσὶν
dread for she dread and her near are
ἀστέρες· οὐκ ἂν τούς γε ἰδὼν ἐπιτεκμήραιο
stars not — them indeed seeing you-would-judge
οἷός οἱ πρὸ ποδῶν φέρεται καλός τε μέγας τε
which-kind to-her before feet is-borne fair both great and
εἷς μὲν ὑπωμαίων, εἷς δ' ἰξυόθεν κατιόντων,
one indeed of-those-under-the-shoulders one and from-the-loins of-those-going-down
ἄλλος δ' οὐραίοις ὑπὸ γούνασιν· ἀλλ' ἄρα πάντες
another and of-the-tail under knees but then all
ἁπλόοι ἄλλοθεν ἄλλος ἀνωνυμίῃ φορέονται.
single from-one-side another namelessly are-borne

Under the Bear's head lie the Twins, the Crab, and the Lion, where the sun's path is hottest and the etesian winds blow. The Charioteer carries the Goat on his shoulder and the Kids at his wrist; the Bull with the Hyades crouches at his feet. The family of Cepheus follows: Cepheus, Cassiepeia, Andromeda with her arms bound, and the half-formed Horse, whose hoof struck out Hippocrene on Helicon.

Κρατὶ δέ οἱ Δίδυμοι, μέσσῃ δ' ὕπο Κάρκινος ἐστίν·
At-head and his the-Twins mid and under the-Crab is
ποσσὶ δ' ὀπισθοτέροισι Λέων ὕπο καλὰ φαείνει.
feet and hinder the-Lion under fairly shines
ἔνθα μὲν ἠελίοιο θερείταταί εἰσι κέλευθοι·
there indeed of-the-sun hottest are paths
αἱ δέ που ἀσταχύων κενεαὶ φαίνονται ἄρουραι
they and somewhere of-ears empty appear fields
ἠελίου τὰ πρῶτα συνερχομένοιο Λέοντι.
of-the-sun the first meeting the-Lion
τῆμος καὶ κελάδοντες ἐτησίαι εὐρέϊ πόντῳ
then also roaring etesian-winds on-broad sea
ἀθρόοι ἐμπίπτουσιν, ὁ δὲ πλόος οὐκέτι κώπαις
thronging fall-upon the and voyage no-longer for-oars
ὥριος. εὐρεῖαί μοι ἀρέσκοιεν τότε νῆες,
seasonable broad to-me may-please then ships
εἰς ἄνεμον δὲ τὰ πηδὰ κυβερνητῆρες ἔχοιεν.
into wind and the rudders helmsmen may-hold

Εἰ δέ τοι Ἡνίοχον τε καὶ ἀστέρας Ἡνιόχοιο
If and to-you the-Charioteer both and stars of-the-Charioteer
σκέπτεσθαι δοκέει, καί τοι φάτις ἤλυθεν Αἰγός
to-observe it-seems and to-you report has-come of-the-Goat
αὐτῆς ἠδ' Ἐρίφων, οἵ τ' εἰν ἁλὶ πορφυρούσῃ
herself and of-the-Kids who — on sea darkling
πολλάκις ἐσκέψαντο κεδαιομένους ἀνθρώπους,
often have-watched scattered men
αὐτὸν μέν μιν ἅπαντα μέγαν Διδύμων ἐπὶ λαιὰ
himself indeed him whole great of-the-Twins on left
κεκλιμένον δήεις· Ἑλίκης δέ οἱ ἄκρα κάρηνα
leaning you-will-find Helice and his top head
ἀντία δινεύει. σκαιῷ δ' ἐπελήλαται ὤμῳ
opposite whirls on-left and is-driven-on shoulder
αἶξ ἱερή, τὴν μέν τε λόγος Διὶ μαζὸν ἐπισχεῖν,
goat holy which indeed — story to-Zeus breast to-have-held
Ὠλενίην δέ μιν Αἶγα Διὸς καλέουσ' ὑποφῆται.
Olenian and her Goat of-Zeus call interpreters
ἀλλ' ἡ μὲν πολλή τε καὶ ἀγλαή· οἱ δέ οἱ αὐτοῦ
but she indeed large both and bright they and his there
λεπτὰ φαείνονται Ἔριφοι καρπὸν κάτα χειρός.
faintly shine the-Kids wrist at of-the-hand
Πὰρ ποσὶ δ' Ἡνιόχου κεραὸν πεπτηότα Ταῦρον
At feet and of-the-Charioteer horned crouching Bull
μαίεσθαι. τὰ δέ οἱ μάλ' ἐοικότα σήματα κεῖται·
seek the and his very like signs lie

τοίη οἱ κεφαλὴ διακέκριται· οὐδέ τις ἄλλῳ
such his head is-marked nor any by-another
σήματι τεκμήραιτο κάρη βοός, οἷά μιν αὐτοὶ
sign could-judge head of-ox as it themselves
ἀστέρες ἀμφοτέρωθεν ἑλισσόμενοι τυπόωσιν.
stars on-both-sides wheeling outline
καὶ λίην κείνων ὄνομ' εἴρεται, οὐδέ τοι αὕτως
and very of-them name is-spoken nor you-know just-so
νήκουστοι Ὑάδες. ταὶ μέν ῥ' ἐπὶ παντὶ μετώπῳ
unheard-of Hyades they indeed then on all forehead
Ταύρου βεβλέαται· λαιοῦ δὲ κεράατος ἄκρον
of-the-Bull are-cast left and horn the-tip
καὶ πόδα δεξιτερὸν παρακειμένου Ἡνιόχοιο
and foot right of-adjacent Charioteer
εἷς ἀστὴρ ἐπέχει· συνεληλάμενοι δὲ φέρονται,
one star holds driven-together and they-are-borne
ἀλλ' αἰεὶ Ταῦρος προφερέστερος Ἡνιόχοιο
but always Bull more-forward than-the-Charioteer
εἰς ἑτέρην καταβῆναι, ὁμηλυσίῃ περ ἀνελθών.
to the-other to-go-down together though rising
Οὐδ' ἄρα Κηφῆος μογερὸν γένος Ἰασίδαο
Nor then of-Cepheus wretched family of-son-of-Iasus
αὕτως ἄρρητον κατακείσεται· ἀλλ' ἄρα καὶ τῶν
just-so unspoken will-lie but then also of-them
οὐρανὸν εἰς ὄνομ' ἦλθεν, ἐπεὶ Διὸς ἐγγύθεν ἦσαν.
heaven to name came since Zeus near they-were
αὐτὸς μὲν κατόπισθεν ἐὼν Κυνοσουρίδος Ἄρκτου
himself indeed behind being Cynosura Bear
Κηφεὺς ἀμφοτέρας χεῖρας τανύοντι ἐοικώς·
Cepheus both hands to-one-stretching like

ἴση οἱ στάθμη νεάτης ἀποτείνεται οὐρῆς
equal his line of-last stretches tail
ἐς πόδας ἀμφοτέρους, ὅσση ποδὸς ἐς πόδα τείνει.
to feet both as-much-as from-foot to foot stretches
αὐτὰρ ἀπὸ ζώνης ὀλίγον κε μεταβλέψειας
but from girdle little — you-might-look-across
πρώτης ἱέμενος καμπῆς μεγάλοιο Δράκοντος.
first seeking the-curve of-great Dragon
Τοῦ δ' ἄρα δαιμονίη προκυλίνδεται οὐ μάλα πολλὴ
Of-him and then unhappy wheels-before not very large
νυκτὶ φαεινομένη παμμήνιδι Κασσιέπεια·
at-night shining at-full-moon Cassiepeia
οὐ γάρ μιν πολλοὶ καὶ ἐπημοιβοὶ γανόωσιν
not for her many and alternating brighten
ἀστέρες, οἵ μιν πᾶσαν ἐπιρρήδην στιχόωσιν.
stars which her all clearly mark-out
οἵῃ δὲ κληῖδι θύρην ἔντοσθ' ἀραρυῖαν
such-as and with-key door within fitted
δικλίδ' ἐπιπλήσσοντες ἀνακρούουσιν ὀχῆας,
double striking push-back bolts
τοῖοί οἱ μουνὰξ ὑποκείμενοι ἰνδάλλονται
such her singly lying-under appear
ἀστέρες. ἡ δ' αὕτως ὀλίγων ἀποτείνεται ὤμων
stars she and just-so from-small stretches shoulders
ὀργυιήν. φαίης κεν ἀνιάζειν ἐπὶ παιδί.
a-fathom you-would-say — to-be-grieving over child

Αὐτοῦ γὰρ κἀκεῖνο κυλίνδεται αἰνὸν ἄγαλμα
There for also-that wheels dread image
Ἀνδρομέδης ὑπὸ μητρὶ κεκασμένον. οὔ σε μάλ' οἴω
of-Andromeda under mother adorned not you very I-think
νύκτα περισκέψασθαι, ἵν' αὐτίκα μᾶλλον ἴδηαι·
night to-look-round that at-once rather you-may-see
τοίη οἱ κεφαλή, τοῖοι δέ οἱ ἀμφοτέρωθεν
such her head such and her on-both-sides
ὦμοι καὶ πόδες ἀκρότατοι καὶ ζώματα πάντα.
shoulders and feet uttermost and girdle all
ἀλλ' ἔμπης κἀκεῖθι διωλενίῃ τετάνυσται,
but nevertheless also-there with-arms-outspread is-stretched
δεσμὰ δέ οἱ κεῖται καὶ ἐν οὐρανῷ· αἱ δ' ἀνέχονται
bonds and to-her lie also in heaven they and are-raised
αὐτοῦ πεπταμέναι πάντ' ἤματα χεῖρες ἐκεῖναι.
there spread-out all days hands those
Ἀλλ' ἄρα οἱ καὶ κρατὶ πέλωρ ἐπελήλαται Ἵππος
But then her also at-head monstrous is-driven-on Horse
γαστέρι νειαίρῃ· ξυνὸς δ' ἐπιλάμπεται ἀστὴρ
with-belly lowest common and shines star
τοῦ μὲν ἐπ' ὀμφαλίῳ, τῆς δ' ἐσχατόωντι καρήνῳ.
of-him indeed on navel of-her and at-farthest head
οἱ δ' ἄρ' ἔτι τρεῖς ἄλλοι ἐπὶ πλευράς τε καὶ ὤμους
they and then still three others on flanks both and shoulders
ἵππου δεικανόωσι διασταδὸν ἶσα πέλεθρα,
of-the-horse point-out apart equal plethra
καλοὶ καὶ μεγάλοι· κεφαλὴ δέ οἱ οὐδὲν ὁμοίη,
fair and great head and his not-at-all like

οὐδ᾽ αὐχὴν δολιχός περ ἐών. ἀτὰρ ἔσχατος ἀστὴρ
nor neck long though being but last star
αἰθομένης γένυος καί κεν προτέροις ἐρίσειεν
of-blazing jaw even — with-former would-vie
τέτρασιν, οἵ μιν ἔχουσι περίσκεπτοι μάλ᾽ ἐόντες.
four which him hold conspicuous very being
οὐδ᾽ ὅ γε τετράπος ἐστίν· ἀπ᾽ ὀμφαλίοιο γὰρ ἄκρου
not he indeed four-footed is from navel for top
μεσσόθεν ἡμιτελὴς περιτέλλεται ἱερὸς Ἵππος. 215
from-middle half-made wheels sacred Horse
κεῖνον δὴ καί φασι καθ᾽ ὑψηλοῦ Ἑλικῶνος
him indeed also they-say down lofty Helicon
καλὸν ὕδωρ ἀγαγεῖν εὐαλδέος Ἱππουκρήνης.
fair water to-have-brought of-fruitful Hippocrene
οὐ γάρ πω Ἑλικὼν ἄκρος κατελείβετο πηγαῖς,
not for yet Helicon top trickled with-springs
ἀλλ᾽ Ἵππος μιν ἔτυψε· τὸ δ᾽ ἀθρόον αὐτόθεν ὕδωρ
but Horse it struck the and abundant from-there water
ἐξέχυτο πληγῇ προτέρου ποδός· οἱ δὲ νομῆες 220
poured-out at-the-blow of-the-fore foot the and herdsmen
πρῶτοι κεῖνο ποτὸν διεφήμισαν Ἱππουκρήνην.
first that drink called Hippocrene
ἀλλὰ τὸ μὲν πέτρης ἀπολείβεται, οὐδέ ποτ᾽ αὐτὸ
but it indeed from-rock trickles nor ever it
Θεσπιέων ἀνδρῶν ἐκὰς ὄψεαι· αὐτὰρ ὁ Ἵππος
Thespian men far you-will-see but the Horse
ἐν Διὸς εἰλεῖται καί τοι πάρα θηήσασθαι.
in of-Zeus wheels and for-you is-possible to-behold

The Ram runs his long course near Andromeda; nearby lie the Triangle and the two Fishes joined by a band. Perseus strides beside his father-in-law's seat. By his knee are the Pleiades, seven by name though six are seen, whose risings and settings Zeus appointed to mark summer, winter, and plowing.

Αὐτοῦ καὶ Κριοῖο θοώταταί εἰσι κέλευθοι,
There also of-the-Ram swiftest are paths
ὅς ῥά τε καὶ μήκιστα διωκόμενος περὶ κύκλα
who then — also longest pursued round circles
οὐδὲν ἀφαυρότερον τροχάει Κυνοσουρίδος Ἄρκτου,
not-at-all more-feebly runs than-Cynosura Bear
αὐτὸς μὲν νωθὴς καὶ ἀνάστερος οἷα σελήνῃ
himself indeed dull and starless as by-moon
σκέψασθαι, ζώνῃ δ' ἂν ὅμως ἐπιτεκμήραιο
to-observe by-girdle but — yet you-may-mark-him
Ἀνδρομέδης· ὀλίγον γὰρ ὑπ' αὐτὴν ἐστήρικται.
of-Andromeda little for under her he-is-fixed
μεσσόθι δὲ τρίβει μέγαν οὐρανόν, ἦχί περ ἄκραι
in-the-middle and treads great heaven where indeed the-tips
χηλαὶ καὶ ζώνη περιτέλλεται Ὠρίωνος.
claws and girdle wheel of-Orion

Ἔστι δέ τοι καὶ ἔτ' ἄλλο τετυγμένον ἐγγύθι σῆμα
There-is and to-you also still another wrought near sign
νειόθεν Ἀνδρομέδης, τὸ δ' ἐπὶ τρισὶν ἐστάθμηται
below Andromeda it and on three is-measured
Δελτωτόν πλευρῇσιν, ἰσαιομένῃσιν ἐοικὸς
Triangle with-sides equal like

ἀμφοτέρῃς· ἡ δ᾽ οὔτι τόση, μάλα δ᾽ ἐστὶν ἑτοίμη
on-both it but not-at-all so-great very but is ready
εὑρέσθαι· περὶ γὰρ πολέων εὐάστερός ἐστιν.
to-find above for many well-starred it-is
τῶν ὀλίγον Κριοῦ νοτιώτεροι ἀστέρες εἰσίν.
of-them little than-the-Ram more-southern stars are
Οἱ δ᾽ ἄρ᾽ ἔτι προτέρω, ἔτι δ᾽ ἐν προμολῇσι νότοιο,
They and then still further still and in the-approaches of-the-south
Ἰχθύες. ἀλλ᾽ αἰεὶ ἕτερος προφερέστερος ἄλλου,
Fishes but always the-one more-forward than-the-other
καὶ μᾶλλον βορέαο νέον κατιόντος ἀκούει.
and more of-the-north-wind newly coming-down hears
ἀμφοτέρων δέ σφεων ἀποτείνεται ἠΰτε δεσμὰ
of-both and them stretch like bonds
οὐραίων ἑκάτερθεν ἐπισχερὼ εἰς ἓν ἰόντων.
the-tails on-each-side in-order into one going
καὶ τὰ μὲν εἷς ἀστὴρ ἐπέχει καλός τε μέγας τε,
and them indeed one star holds fair both great and
ὅν ῥά τε καὶ σύνδεσμον ὑπούραιον καλέουσιν.
which then — also knot under-the-tail they-call
Ἀνδρομέδης δέ τοι ὦμος ἀριστερὸς Ἰχθύος ἔστω
of-Andromeda and to-you shoulder left of-the-Fish let-be
σῆμα βορειοτέρου· μάλα γάρ νύ οἱ ἐγγύθεν ἐστίν.
sign more-northern very for now to-it near it-is
Ἀμφότεροι δὲ πόδες γαμβροῦ ἐπισημαίνοιεν
Both and feet of-son-in-law may-signify
Περσέος, οἵ ῥά οἱ αἰὲν ἐπωμάδιοι φορέονται.
Perseus who then on-him always on-the-shoulders are-borne
αὐτὰρ ὅ γ᾽ ἐν βορέῳ φέρεται περιμήκετος ἄλλων.
but he indeed in north is-borne very-tall than-others

καί οἱ δεξιτερὴ μὲν ἐπὶ κλισμὸν τετάνυσται
and his right indeed toward couch is-stretched
πενθερίου δίφροιο· τὰ δ' ἐν ποσὶν οἷα διώκων
of-father-in-law chair the and in feet as pursuing
ἴχνια μηκύνει κεκονιμένος ἐν Διὶ πατρί.
strides lengthens dusty in Zeus father
Ἄγχι δέ οἱ σκαιῆς ἐπιγουνίδος ἤλιθα πᾶσαι
Near and his left knee all-together all
Πληϊάδες φορέονται. ὁ δ' οὐ μάλα πολλὸς ἁπάσας
Pleiades are-borne the and not very large all
χῶρος ἔχει, καὶ δ' αὐταὶ ἐπισκέψασθαι ἀφαυραί.
space holds also and they to-observe faint
ἑπτάποροι δὴ ταί γε μετ' ἀνθρώπους ὑδέονται,
seven-pathed indeed they indeed among men are-sung
ἓξ οἷαί περ ἐοῦσαι ἐπόψιαι ὀφθαλμοῖσιν.
six such though being visible to-eyes
οὐ μέν πως ἀπόλωλεν ἀπευθὴς ἐκ Διὸς ἀστήρ,
not indeed somehow has-perished unheard-of from Zeus star
ἐξ οὗ καὶ γενεῆθεν ἀκούομεν, ἀλλὰ μάλ' αὕτως
from when and from-birth we-hear but very just-so
εἴρεται. ἑπτὰ δ' ἐκεῖναι ἐπιρρήδην καλέονται
it-is-said seven and they by-name are-called
Ἀλκυόνη Μερόπη τε Κελαινώ τ' Ἠλέκτρη τε
Alcyone Merope both Celaeno and Electra and
καὶ Στερόπη καὶ Ταϋγέτη καὶ πότνια Μαῖα.
and Sterope and Taygete and lady Maia
αἱ μὲν ὁμῶς ὀλίγαι καὶ ἀφεγγέες, ἀλλ' ὀνομασταὶ
they indeed alike small and dim but famous
ἦρι καὶ ἑσπέριαι, Ζεὺς δ' αἴτιος, εἰλίσσονται,
at-morning and at-evening Zeus and the-cause they-wheel

ὅ σφισι καὶ θέρεος καὶ χείματος ἀρχομένοιο
who them both of-summer and of-winter beginning
σημαίνειν ἐκέλευσεν ἐπερχομένου τ᾽ ἀρότοιο.
to-signify bade approaching and plowing

VI · THE LYRE, THE BIRD, AND THE WINTER STARS

Hermes' Lyre, made from a tortoise, lies near the Kneeler, and the Bird flies beside it. The Water-pourer and the Goat-horned follow; when the sun is in the Goat-horned, the sea is cold and deadly. When it is in the Archer, the Scorpion rises at night's end, and a sailor should put in by evening. The Arrow, the Eagle, and the Dolphin complete this part of the sky.

Καὶ Χέλυς, ἥτ᾽ ὀλίγη· τὴν δ᾽ ἂρ᾽ ἔτι καὶ παρὰ λίκνῳ
And Tortoise which small which and then still even by cradle
Ἑρμείης ἐτόρησε, Λύρην δέ μιν εἶπε λέγεσθαι.
Hermes pierced Lyre and it bade to-be-called
κὰδ δ᾽ ἔθετο προπάροιθεν ἀπευθέος Εἰδώλοιο
down and set before unheard-of Figure
οὐρανὸν εἰσαγαγών. τὸ δ᾽ ἐπὶ σκελέεσσι πέτηλον
heaven having-led-into it and on legs leaf
γούνατί οἱ σκαιῷ πελάει· κεφαλή γε μὲν ἄκρη
to-knee his left approaches head indeed indeed top
ἀντιπέρην Ὄρνιθος ἑλίσσεται· ἡ δὲ μεσηγὺ
opposite the-Bird wheels it and between
ὀρνιθέης κεφαλῆς καὶ γούνατος ἐστήρικται.
the-bird head and knee is-fixed

Ἦτοι γὰρ καὶ Ζηνὶ παρατρέχει αἰόλος Ὄρνις.
Truly for even Zeus runs-beside spangled Bird
ἀλλ᾽ ὁ μὲν ἠερόεις, τὰ δέ οἱ ἔπι τετρήχυνται
but it indeed misty they and it on are-roughened
ἀστράσιν οὔτι λίην μεγάλοις, ἀτὰρ οὐ μὲν ἀφαυροῖς.
with-stars not-at-all very great but not indeed faint
αὐτὰρ ὅ γ᾽ εὐδιόωντι ποτὴν ὄρνιθι ἐοικὼς
but it indeed in-fair-weather flight to-a-bird like
οὔριος εἰς ἑτέρην φέρεται, κατὰ δεξιὰ χειρὸς
with-fair-wind to the-other is-borne toward right of-the-hand
Κηφείης ταρσοῖο τὰ δεξιὰ πείρατα τείνων,
Cepheus of-the-wing the right limits stretching
λαιῇ δὲ πτέρυγι σκαρθμὸς παρακέκλιται Ἵππου.
left and wing leap lies-near of-the-Horse
Τὸν δὲ μετασκαίροντα δύ᾽ Ἰχθύες ἀμφινέμονται
It and frisking two Fishes graze-round
Ἵππον· πὰρ δ᾽ ἄρα οἱ κεφαλῇ χεὶρ Ὑδροχόοιο
Horse beside and then his head hand of-the-Water-pourer
δεξιτερὴ τετάνυσθ᾽· ὁ δ᾽ ὀπίστερος Αἰγοκερῆος
right is-stretched he and behind than-the-Goat-horned
τέλλεται. αὐτὰρ ὅ γε πρότερος καὶ νειόθι μᾶλλον
rises but he indeed before and below more
κέκλιται Αἰγόκερως, ἵνα τε τρέπετ᾽ ἠελίου ἴς.
lies Goat-horned where — turns of-the-sun the-strength
μὴ κείνῳ ἐνὶ μηνὶ περικλύζοιο θαλάσσῃ
not that in month be-washed-about in-sea
πεπταμένῳ πελάγει κεχρημένος. οὔτε κεν ἠοῖ
open on-sea making-use nor — by-dawn
πολλὴν πειρήνειας, ἐπεὶ ταχινώταταί εἰσιν·
much you-would-accomplish since swiftest are

οὔτ' ἄν τοι νυκτὸς πεφοβημένῳ ἐγγύθεν ἠὼς
nor — to-you by-night frightened near dawn
ἔλθοι καὶ μάλα πολλὰ βοωμένῳ. οἱ δ' ἀλεγεινοὶ
would-come even very much crying they and grievous
τῆμος ἐπιρρήσσουσι νότοι, ὁπότ' Αἰγοκερῆϊ
then burst-forth south-winds when with-Goat-horned
συμφέρετ' ἠέλιος· τότε δὲ κρύος ἐκ Διός ἐστιν
meets the-sun then and cold from Zeus is
ναύτῃ μαλκιόωντι κακώτερον. ἀλλὰ καὶ ἔμπης
to-sailor numb worse but also nevertheless
ἤδη πάντ' ἐνιαυτὸν ὑπὸ στείρῃσι θάλασσα
already all year under keels sea
πορφύρει· ἴκελοι δὲ κολυμβίσιν αἰθυίῃσιν
darkens like and to-divers to-shearwaters
πολλάκις ἐκ νηῶν πέλαγος περιπαπταίνοντες
often from ships sea gazing-round
ἥμεθ' ἐπ' αἰγιαλοὺς τετραμμένοι· οἱ δ' ἔτι πόρσω
we-sit to shores turned they and still far
κλύζονται· ὀλίγον δὲ διὰ ξύλον Ἄϊδ' ἐρύκει.
are-washed little and by wood Hades keeps-off
Καὶ δ' ἂν ἐπὶ προτέρῳ γε, θαλάσσῃ πολλὰ πεπονθώς,
Also and — in former indeed in-sea much having-suffered
Τόξον ὅτ' ἠέλιος καίει καὶ ῥύτορα Τόξου,
Bow when the-sun burns and drawer of-the-Bow
ἑσπέριος κατάγοιο, πεποιθὼς οὐκέτι νυκτί.
at-evening may-you-put-in trusting no-longer in-night
σῆμα δέ τοι κείνης ὥρης καὶ μηνὸς ἐκείνου
sign and to-you of-that season and month that
Σκορπίος ἀντέλλων εἴη πυμάτης ἐπὶ νυκτός.
Scorpion rising may-be the-last at night

ἤτοι γὰρ μέγα τόξον ἀνέλκεται ἐγγύθι κέντρου
truly for great bow draws near the-sting
Τοξευτὴς· ὀλίγον δὲ παροίτερος ἵσταται αὐτοῦ
Archer little and before stands than-him
Σκορπίος ἀντέλλων, ὁ δ' ἀνέρχεται αὐτίκα μᾶλλον.
Scorpion rising he and rises at-once more
τῆμος καὶ κεφαλὴ Κυνοσουρίδος ἀκρόθι νυκτὸς
then also the-head of-Cynosura at-the-end of-night
ὕψι μάλα τροχάει, ὁ δὲ δύεται ἠῶθι πρὸ
high very runs he and sets at-dawn before
ἀθρόος Ὠρίων, Κηφεὺς δ' ἀπὸ χειρὸς ἐπ' ἰξύν.
whole Orion Cepheus and from hand to waist
Ἔστι δέ τις προτέρω βεβλημένος ἄλλος Ὀϊστὸς
There-is and some further cast another Arrow
αὐτὸς ἄτερ τόξου· ὁ δέ οἱ παραπέπταται Ὄρνις
itself without bow it and to-it is-spread-beside the-Bird
ἀσσότερον βορέω. σχεδόθεν δέ οἱ ἄλλος ἄηται
nearer the-north near and to-it another blows
οὐ τόσσος μεγέθει, χαλεπός γε μὲν ἐξ ἁλὸς ἐλθεῖν
not so-great in-size harsh indeed indeed from sea to-come
νυκτὸς ἀπερχομένης· καί μιν καλέουσιν Ἀητόν.
night departing and it they-call Eagle
Δελφὶς δ', οὐ μάλα πολλός, ἐπιτρέχει Αἰγοκερῆϊ
Dolphin and not very large runs-over the-Goat-horned
μεσσόθεν ἠερόεις· τὰ δέ οἱ περὶ τέσσαρα κεῖται
from-the-middle misty the and his around four lie
γλήνεα, παρβολάδην δύο πὰρ δύο πεπτηῶτα.
gems side-by-side two beside two set

South of the sun's path lies Orion, with the Dog at his feet, whose brightest star, Sirius, parches the plants. The Hare is chased beneath them. Argo is drawn stern-first. The Sea-monster threatens Andromeda; the River Eridanus flows under Orion. Countless faint stars between are left unnamed, since the ancients grouped only what they could.

Καὶ τὰ μὲν οὖν βορέω καὶ ἀλήσιος ἠελίοιο
And these indeed then the-north and wandering sun
μεσσηγὺς κέχυται· τὰ δὲ νειόθι τέλλεται ἄλλα
between are-spread the and below rise others
πολλὰ μεταξὺ νότοιο καὶ ἠελίοιο κελεύθου.
many between the-south and of-the-sun path
Λοξὸς μὲν Ταύροιο τομῇ ὑποκέκλιται αὐτὸς
Slanting indeed of-the-Bull the-section lies-under himself
Ὠρίων. μὴ κεῖνον ὅτις καθαρῇ ἐνὶ νυκτὶ
Orion not him whoever clear in night
ὑψοῦ πεπτηῶτα παρέρχεται ἄλλα πεποίθοι
high stretched passes-by other-things let-him-trust
οὐρανὸν εἰσανιδὼν προφερέστερα θηήσασθαι.
heaven looking-up-at more-excellent to-behold
Τοῖός οἱ καὶ φρουρὸς ἀειρομένῳ ὑπὸ νώτῳ
Such to-him also guard raised under back
φαίνεται ἀμφοτέροισι Κύων ὑπὸ ποσσὶ βεβηκώς,
appears both the-Dog under feet standing

ποικίλος, ἀλλ᾽ οὐ πάντα πεφασμένος· ἀλλὰ κατ᾽ αὐτὴν
spangled but not all shining but along itself
γαστέρα κυάνεος περιτέλλεται, ἡ δέ οἱ ἄκρη
belly dark wheels it and his top
ἀστέρι βέβληται δεινὴ γένυς, ὅς ῥα μάλιστα
with-a-star is-set dread jaw which then most
ὀξέα σειριάει· καί μιν καλέουσ᾽ ἄνθρωποι
sharply scorches and it call men
Σείριον. οὐκέτι κεῖνον ἅμ᾽ ἠελίῳ ἀνιόντα
Sirius no-longer him together-with the-sun rising
φυταλιαὶ ψεύδονται ἀναλδέα φυλλιόωσαι.
plants deceive feeble leafing
ῥεῖα γὰρ οὖν ἔκρινε διὰ στίχας ὀξὺς ἀΐξας,
easily for then it-judged through rows sharply darting
καὶ τὰ μὲν ἔρρωσεν, τῶν δὲ φλόον ὤλεσε πάντα.
and these indeed it-strengthened of-those and bark it-destroyed all
κείνου καὶ κατιόντος ἀκούομεν· οἱ δὲ δὴ ἄλλοι
of-him also setting we-hear the and indeed other
σῆμ᾽ ἔμεναι μελέεσσιν ἐλαφρότεροι περίκεινται.
sign to-be on-the-limbs fainter lie-around

Ποσσὶν δ᾽ Ὠρίωνος ὑπ᾽ ἀμφοτέροισι Λαγῳός
Feet and of-Orion under both the-Hare
ἐμμενὲς ἤματα πάντα διώκεται. αὐτὰρ ὅ γ᾽ αἰεὶ
continually days all is-pursued but he indeed always
Σείριος ἐξόπιθεν φέρεται μετιόντι ἐοικώς,
Sirius from-behind is-borne to-one-pursuing like
καί οἱ ἐπαντέλλει, καί μιν κατιόντα δοκεύει.
and it he-rises-after and it setting watches

Ἡ δὲ Κυνὸς μεγάλοιο κατ᾽ οὐρὴν ἕλκεται Ἀργώ
She and of-the-Dog great by tail is-drawn Argo
πρυμνόθεν· οὐ γὰρ τῇ γε κατὰ χρέος εἰσὶ κέλευθοι,
stern-first not for to-her indeed according-to need are paths
ἀλλ᾽ ὄπιθεν φέρεται τετραμμένη, οἷα καὶ αὐταὶ
but behind is-borne turned such-as also themselves
νῆες, ὅτ᾽ ἤδη ναῦται ἐπιστρέψωσι κορώνην
ships when already sailors turn-round stern
ὅρμον ἐσερχόμενοι· τὴν δ᾽ αὐτίκα πᾶς ἀνακόπτει
harbor entering it and at-once each backs
νῆα, παλιρροθίῃ δὲ καθάπτεται ἠπείροιο·
ship back-rushing and touches land
ὣς ἥ γε πρύμνηθεν Ἰησονὶς ἕλκεται Ἀργώ.
so she indeed from-the-stern Jasonian is-drawn Argo
καὶ τὰ μὲν ἠερίη καὶ ἀνάστερος ἄχρι παρ᾽ αὐτὸν
and the indeed misty and starless up-to by itself
ἱστὸν ἀπὸ πρώρης φέρεται, τὰ δὲ πᾶσα φαεινή.
mast from prow is-borne the and all bright
καί οἱ πηδάλιον κεχαλασμένον ἐστήρικται
and her rudder loosened is-fixed
ποσσὶν ὑπ᾽ οὐραίοισι Κυνὸς προπάροιθεν ἰόντος.
feet under the-hind of-the-Dog before going
Τὴν δὲ καὶ οὐκ ὀλίγον περ ἀπόπροθι πεπτηυῖαν
Her and also not little though far-off crouched
Ἀνδρομέδην μέγα Κῆτος ἐπερχόμενον κατεπείγει.
Andromeda great Sea-monster advancing presses

ἡ μὲν γὰρ Θρῄϊκος ὑπὸ πνοιῇ βορέαο
she indeed for of-Thracian under breath north-wind
κεκλιμένη φέρεται, τὸ δέ οἱ νότος ἐχθρὸν ἀγινεῖ
lying is-borne it and to-her south-wind hateful brings
κῆτος, ὑπὸ Κριῷ τε καὶ Ἰχθύσιν ἀμφοτέροισιν,
monster under Ram both and Fishes both
βαιὸν ὑπὲρ Ποταμοῦ βεβλημένον ἀστερόεντος.
a-little above River cast starry
Οἷον γὰρ κἀκεῖνο θεῶν ὑπὸ ποσσὶ φορεῖται
Alone for even-that of-the-gods under feet is-borne
λείψανον Ἠριδανοῖο, πολυκλαύτου ποταμοῖο.
remnant of-Eridanus much-wept river
καὶ τὸ μὲν Ὠρίωνος ὑπὸ σκαιὸν πόδα τείνει·
and it indeed of-Orion under left foot stretches
δεσμοὶ δ' οὐραῖοι, τοῖς Ἰχθύες ἄκροι ἔχονται,
bonds and of-the-tails by-which Fishes at-the-ends are-held
ἄμφω συμφορέονται ἀπ' οὐραίων κατιόντες·
both are-borne-together from the-tails coming-down
Κητείης δ' ὄπιθεν λοφίης ἐπιμὶξ φορέονται
of-the-Monster and behind crest mingled are-borne
εἰς ἓν ἐλαυνόμενοι· ἑνὶ δ' ἀστέρι πειραίνονται
into one driven in-one and star they-end
Κήτεος, ὃς κείνου πρώτῃ ἐπίκειται ἀκάνθῃ.
of-the-Monster which of-that first lies-on spine
Οἱ δ' ὀλίγῳ μέτρῳ ὀλίγῃ δ' ἐγκείμενοι αἴγλῃ
They and of-small measure small and set brightness
μεσσόθι πηδαλίου καὶ Κήτεος εἰλίσσονται,
between rudder and Monster wheel

γλαυκοῦ πεπτηῶτες ὑπὸ πλευρῇσι Λαγωοῦ
gray crouched under flanks of-the-Hare
νώνυμοι· οὐ γὰρ τοί γε τετυγμένου εἰδώλοιο
nameless not for they indeed of-wrought figure
βεβλέαται μελέεσσιν ἐοικότες, οἷά τε πολλὰ
are-cast to-limbs like such-as — many
ἑξείης στιχόωντα παρέρχεται αὐτὰ κέλευθα
in-order ranked pass-by the-same paths
ἀνομένων ἐτέων· τά τις ἀνδρῶν οὐκέτ' ἐόντων
of-completed years which someone of-men no-longer being
ἐφράσατ' ἠδ' ἐνόησεν ἅπαντ' ὀνομαστὶ καλέσσαι
devised and conceived all by-name to-call
ἤλιθα μορφώσας. οὐ γάρ κ' ἐδυνήσατο πάντων
in-groups giving-shape not for — he-could of-all
οἰόθι κεκριμένων ὄνομ' εἰπεῖν, οὐδὲ δαῆναι.
singly separated name to-tell nor to-learn
πολλοὶ γὰρ πάντη, πολέων δ' ἐπὶ ἶσα πέλονται
many for everywhere of-many and upon equal are
μέτρα τε καὶ χροιή, πάντες γε μὲν ἀμφιέλικτοι.
measures both and color all indeed indeed rolling-around
τῶ καὶ ὁμηγερέας οἱ ἐείσατο ποιήσασθαι
therefore also gathered to-him it-seemed-good to-make
ἀστέρας, ὄφρ' ἐπιτὰξ ἄλλῳ παρακείμενος ἄλλος
stars that in-order to-another lying-near another
εἴδεα σημαίνοιεν. ἄφαρ δ' ὀνομαστὰ γένοντο
forms might-signify at-once and named became
ἄστρα, καὶ οὐκέτι νῦν ὑπὸ θαύματι τέλλεται ἀστήρ.
constellations and no-longer now under wonder rises star

ἀλλ᾽ οἱ μὲν καθαροῖς ἐναρηρότες εἰδώλοισιν
but they indeed in-clear fitted in-figures
φαίνονται· τὰ δ᾽ ἔνερθε διωκομένοιο Λαγωοῦ
appear the and below pursued Hare
πάντα μάλ᾽ ἠερόεντα καὶ οὐκ ὀνομαστὰ φέρονται.
all very misty and not named are-borne

VIII · THE SOUTHERN STARS

Below the Goat-horned swims the Southern Fish; the Water lies beneath the Water-pourer. Under the Scorpion's sting hangs the Altar, which Night set as a sign of storm at sea. The Centaur holds the Beast, the Hydra stretches with the Bowl and the Raven, and Procyon shines below the Twins.

Νειόθι δ᾽ Αἰγοκερῆος, ὑπὸ πνοιῇσι νότοιο,
Below and Goat-horned under breaths of-the-south
Ἰχθὺς ἐς Κῆτος τετραμμένος αἰωρεῖται
a-Fish to Monster turned hangs
οἷος ἀπὸ προτέρων, Νότιον δέ ἑ κικλήσκουσιν.
alone from the-former Southern and it they-call
Ἄλλοι δέ, σποράδην ὑποκείμενοι Ὑδροχοῇϊ,
Others and scattered lying-under the-Water-pourer
Κήτεος αἰθερίοιο καὶ Ἰχθύος ἠερέθονται
of-the-Monster aerial and Fish hover
μέσσοι νωχελέες καὶ ἀνώνυμοι· ἐγγύθι δέ σφεων,
middle sluggish and nameless near and them
δεξιτερῆς ἀπὸ χειρὸς ἀγαυοῦ Ὑδροχόοιο,
right from hand of-glorious Water-pourer

οἵη τίς τ᾽ ὀλίγη χύσις ὕδατος ἔνθα καὶ ἔνθα
like some — small pouring of-water here and there
σκιδναμένου, χαροποὶ καὶ ἀναλδέες εἰλίσσονται.
scattering bright and feeble wheel
ἐν δέ σφιν δύο μᾶλλον ἐειδόμενοι φορέονται
among and them two more apparent are-borne
ἀστέρες, οὔτε τι πολλὸν ἀπήοροι, οὔτε μάλ᾽ ἐγγύς·
stars neither at-all much apart nor very near
εἷς μὲν ὑπ᾽ ἀμφοτέροισι ποσὶν καλός τε μέγας τε
one indeed under both feet fair both great and
Ὑδροχόου, ὁ δὲ κυανέου ὑπὸ Κήτεος οὐρῇ.
of-the-Water-pourer the-other and of-dark-blue under Monster tail
τοὺς πάντας καλέουσιν Ὕδωρ. ὀλίγοι γε μὲν ἄλλοι
them all they-call Water few indeed indeed others
νειόθι Τοξευτῆρος ὑπὸ προτέροισι πόδεσσιν
below the-Archer under fore feet
δινωτοὶ κύκλῳ περιηγέες εἰλίσσονται.
whirled in-a-circle round wheel
Αὐτὰρ ὑπ᾽ αἰθομένῳ κέντρῳ τέραος μεγάλοιο
But under burning sting of-portent great
Σκορπίου, ἄγχι νότοιο, Θυτήριον αἰωρεῖται.
the-Scorpion near the-south Altar hangs
τοῦ δ᾽ ἤτοι ὀλίγον περ ἐπὶ χρόνον ὑψόθ᾽ ἐόντος
of-it and truly little though for time on-high being
πεύσεαι· ἀντιπέρην γὰρ ἀείρεται Ἀρκτούροιο.
you-will-learn opposite for it-is-raised Arcturus
καὶ τῷ μὲν μάλα πάγχυ μετήοροί εἰσι κέλευθοι
and to-it indeed very wholly high are paths
Ἀρκτούρῳ, τὸ δὲ θᾶσσον ὑφ᾽ ἑσπερίην ἅλα νεῖται.
to-Arcturus it and quicker under western sea goes

ἀλλ᾽ ἄρα καὶ περὶ κεῖνο Θυτήριον ἀρχαίη Νύξ,
but then even about that Altar ancient Night
ἀνθρώπων κλαίουσα πόνον, χειμῶνος ἔθηκεν
of-men weeping toil of-storm set
εἰναλίου μέγα σῆμα. κεδαιόμεναι γὰρ ἐκείνῃ
the-sea great sign scattered for to-her
νῆες ἄπο φρενός εἰσι, τὰ δ᾽ ἄλλοθεν ἄλλα πιφαύσκει
ships away-from mind are the and from-one-side other shows
σήματ᾽, ἐποικτείρουσα πολυρροθίους ἀνθρώπους.
signs pitying storm-tossed men
τῶ μή μοι πελάγει νεφέων εἰλυμένον ἄλλων
therefore not to-me at-sea with-clouds enveloped other
εὔχεο μεσσόθι κεῖνο φανήμεναι οὐρανῷ ἄστρον,
pray in-mid that to-appear in-heaven constellation
αὐτὸ μὲν ἀνέφελόν τε καὶ ἀγλαόν, ὕψι δὲ μᾶλλον
itself indeed cloudless both and bright high but more
κυμαίνοντι νέφει πεπιεσμένον, οἷά τε πολλὰ
with-billowing cloud pressed such-as — many
θλίβετ᾽ ἀναστέλλοντος ὀπωρινοῦ ἀνέμοιο.
are-squeezed raising-up of-autumn wind
πολλάκι γὰρ καὶ τοῦτο νότῳ ἔπι σῆμα τιτύσκει
often for also this south-wind for sign shows
Νὺξ αὐτή, μογεροῖσι χαριζομένη ναύτῃσιν.
Night herself to-wretched gracious sailors
οἱ δ᾽ εἰ μέν κε πίθωνται ἐναίσιμα σημαινούσῃ,
they and if indeed — they-obey fitly signifying
αἶψά τε κοῦφά τε πάντα καὶ ἄρτια ποιήσωνται,
at-once both light and all and trim they-make

αὐτίκ᾽ ἐλαφρότερος πέλεται πόνος· εἰ δέ κε νηΐ
immediately lighter becomes the-labor if but — on-ship
ὑψόθεν ἐμπλήξῃ δεινὴ ἀνέμοιο θύελλα
from-on-high strike dread of-wind storm
αὔτως ἀπρόφατος, τὰ δὲ λαίφεα πάντα ταράξῃ,
just-so unforeseen the and sails all confound
ἄλλοτε μὲν καὶ πάμπαν ὑπόβρυχα ναυτίλλονται,
at-other-times indeed even wholly under-water they-sail
ἄλλοτε δ᾽, αἴ κε Διὸς παρανισσομένοιο τύχωσιν
at-other-times and if — Zeus coming-by they-meet
εὐχόμενοι, βορέω δὲ παραστράψῃ ἀνέμου ἴς,
praying of-the-north and lightens wind the-force
πολλὰ μάλ᾽ ὀτλήσαντες ὅμως πάλιν ἐσκέψαντο
many very having-endured yet again looked-on
ἀλλήλους ἐπὶ νηΐ. νότον δ᾽ ἐπὶ σήματι τούτῳ
each-other on ship the-south and at sign this
δείδιθι, μέχρι βορῆος ἀπαστράψαντος ἴδηαι.
fear until north-wind lightening you-see
εἰ δέ κεν ἑσπερίης μὲν ἁλὸς Κενταύρου ἀπείη
if but — from-western indeed sea of-the-Centaur be-distant
ὦμος ὅσον προτέρης, ὀλίγη δέ μιν εἰλύοι ἀχλὺς
shoulder as-much-as from-eastern little and it wrap mist
αὐτόν, ἀτὰρ μετόπισθεν ἐοικότα σήματα τεύχοι
itself but behind like signs make
Νὺξ ἐπὶ παμφανόωντι Θυτηρίῳ, οὔ σε μάλα χρὴ
Night on shining Altar not you very one-must
ἐς νότον ἀλλ᾽ εὖροιο περισκοπέειν ἀνέμοιο.
to south but of-east to-watch wind

Δήεις δ' ἄστρον ἐκεῖνο δύω ὑποκείμενον ἄλλοις·
You-will-find and constellation that two lying-under others
τοῦ γάρ τοι τὰ μὲν ἀνδρὶ ἐοικότα νειόθι κεῖται
of-it for you-know the indeed to-a-man like below lies
Σκορπίου, ἱππούραια δ' ὑπὸ σφίσι Χηλαὶ ἔχουσιν.
the-Scorpion horse-tail and under them Claws hold
αὐτὰρ ὁ δεξιτερὴν αἰεὶ τανύοντι ἔοικεν
but he right always stretching is-like
ἀντία δινωτοῖο Θυτηρίου, ἐν δέ οἱ ἀπρὶξ
toward whirled Altar in and his tightly
ἄλλο μάλ' ἐσφήκωται ἐληλάμενον διὰ χειρὸς
other very is-gripped driven through hand
Θηρίον· ὣς γάρ μιν πρότεροι ἐπεφημίξαντο.
Beast so for it the-former named
Ἀλλ' ἔτι γάρ τε καὶ ἄλλο περαιόθεν ἕλκεται ἄστρον·
But still for — also other from-opposite is-drawn constellation
Ὕδρην μιν καλέουσι, τὸ δὲ ζώοντι ἐοικὸς
Hydra it they-call it and to-a-living-thing like
ἠνεκὲς εἰλεῖται· καί οἱ κεφαλὴ ὑπὸ μέσσον
continuously winds and its head under middle
Καρκίνον ἱκνεῖται, σπείρη δ' ὑπὸ σῶμα Λέοντος,
Crab reaches coil and under body of-the-Lion
οὐρὴ δὲ κρέμαται ὑπὲρ αὐτοῦ Κενταύροιο.
tail and hangs over himself the-Centaur
μέσσῃ δὲ σπείρῃ Κρητήρ, πυμάτῃ δ' ἐπίκειται
in-middle and coil the-Bowl on-the-last and lies-on
εἴδωλον Κόρακος σπείρην κόπτοντι ἐοικός.
figure of-the-Raven coil pecking like
Καὶ μὴν καὶ Προκύων Διδύμοις ὕπο καλὰ φαείνει.
And indeed also Procyon the-Twins under fairly shines

Five wandering stars move among the fixed figures, and the poet does not dare to describe them. He turns to the four great circles. The Milky Way girdles the sky; the summer tropic runs through the Twins, the Crab, and the Lion, mostly above the earth.

Ταῦτά κε θηήσαιο παρερχομένων ἐνιαυτῶν
These — you-might-behold of-passing years
ἑξείης παλίνωρα· τὰ γὰρ καὶ πάντα μάλ' αὕτως
in-order returning these for also all very just-so
οὐρανῷ εὖ ἐνάρηρεν ἀγάλματα νυκτὸς ἰούσης.
in-heaven well are-fitted ornaments of-night going
Οἱ δ' ἐπιμὶξ ἄλλοι πέντ' ἀστέρες, οὐδὲν ὁμοῖοι,
The and mingled other five stars not-at-all like
παντόθεν εἰδώλων δυοκαίδεκα δινεύονται.
from-all-sides of-figures twelve whirl
οὐκ ἂν ἔτ' εἰς ἄλλους ὁρόων ἐπιτεκμήραιο
not — still to others looking could-you-judge
κείνους ἧχι κέονται· ἐπεὶ πάντες μετανάσται,
them where they-lie since all wanderers
μακροὶ δέ σφεων εἰσὶν ἑλισσομένων ἐνιαυτοί,
long and of-them are wheeling years
μακρὰ δὲ σήματα κεῖται ἀπόπροθεν εἰς ἓν ἰόντων.
long and signs lie from-afar into one coming
οὐδ' ἔτι θαρσαλέος κείνων ἐγώ· ἄρκιος εἴην
nor still bold of-those I sufficient would-be
ἀπλανέων τά τε κύκλα τά τ' αἰθέρι σήματ' ἐνισπεῖν.
of-fixed the both circles those and in-the-sky signs to-tell

Ἤτοι μὲν τά γε κεῖται ἀλίγκια δινωτοῖσιν
Truly indeed they indeed lie like to-whirled
τέσσαρα, τῶν κε μάλιστα πόθη ὄφελός τε γένοιτο
four of-which — most longing use and might-be
μέτρα περισκοπέοντι κατανομένων ἐνιαυτῶν.
measures watching of-completing years
σήματα δ' εὖ μάλα πᾶσιν ἐπιρρήδην περίκειται
signs and well very all clearly lie-around
πολλά τε καὶ σχεδόθεν πάντη συνεεργμένα πάντα.
many both and close everywhere joined all
αὐτοὶ δ' ἀπλανέες καὶ ἀρηρότες ἀλλήλοισιν
themselves and fixed and fitted to-each-other
πάντες· ἀτὰρ μέτρῳ γε δύω δυσὶν ἀντιφέρονται.
all but in-measure indeed two to-two are-matched
Εἴ ποτέ τοι νυκτὸς καθαρῆς, ὅτε πάντας ἀγαυοὺς
If ever to-you of-night clear when all glorious
ἀστέρας ἀνθρώποις ἐπιδείκνυται οὐρανίη Νύξ,
stars to-men shows heavenly Night
οὐδέ τις ἀδρανέων φέρεται διχόμηνι σελήνῃ,
nor any feeble is-borne at-full moon
ἀλλὰ τά γε κνέφαος διαφαίνεται ὀξέα πάντα —
but they indeed of-darkness shine-through sharp all
εἴ ποτέ τοι τημόσδε περὶ φρένας ἵκετο θαῦμα,
if ever to-you then round mind came wonder
σκεψαμένῳ πάντη κεκεασμένον εὐρέϊ κύκλῳ
having-looked everywhere split broad circle
οὐρανόν, ἢ καί τίς τοι ἐπιστὰς ἄλλος ἔδειξεν
heaven or also some to-you standing-by other showed
κεῖνο περιγληνὲς τροχαλόν, Γάλα μιν καλέουσιν·
that shining wheel Milk it they-call

τῷ δ᾽ ἤτοι χροιὴν μὲν ἀλίγκιος οὐκέτι κύκλος
to-it and truly in-color indeed like no-longer circle
δινεῖται, τὰ δὲ μέτρα τόσοι πισύρων περ ἐόντων
whirls the and measures as-large four though being
οἱ δύο, τοὶ δέ σφεων μέγα μείονες εἱλίσσονται.
the two they and of-them much smaller wheel
Τῶν ὁ μὲν ἐγγύθεν ἐστὶ κατερχομένου βορέαο.
Of-them the-one indeed near is coming-down north-wind
ἐν δέ οἱ ἀμφότεραι κεφαλαὶ Διδύμων φορέονται,
in and it both heads of-the-Twins are-borne
ἐν δέ τε γούνατα κεῖται ἀρηρότος Ἡνιόχοιο,
in and — knees lie of-fixed Charioteer
λαιὴ δὲ κνήμη καὶ ἀριστερὸς ὦμος ἐπ᾽ αὐτῷ
left and shin and left shoulder on it
Περσέος, Ἀνδρομέδης δὲ μέσην ἀγκῶνος ὕπερθεν
of-Perseus of-Andromeda and middle elbow above
δεξιτερὴν ἐπέχει· τὸ μέν οἱ θέναρ ὑψόθι κεῖται,
right holds the indeed his palm high lies
ἀσσότερον βορέαο, νότῳ δ᾽ ἐπικέκλιται ἀγκών·
nearer the-north to-the-south and leans elbow
ὁπλαὶ δ᾽ Ἵππειοι, καὶ ὑπαύχενον Ὀρνίθειον
hoofs and of-the-Horse and neck-region of-the-Bird
ἄκρῃ σὺν κεφαλῇ, καλοί τ᾽ Ὀφιούχεοι ὦμοι,
topmost with head fair and Serpent-holder's shoulders
αὐτὸν δινεύονται ἐληλάμενοι περὶ κύκλον·
itself whirl driven round circle
ἡ δ᾽ ὀλίγον φέρεται νοτιωτέρη, οὐδ᾽ ἐπιβάλλει,
it and little is-borne more-southern nor touches

Παρθένος· ἀλλὰ Λέων καὶ Καρκίνος· οἱ μὲν ἄρ᾽ ἄμφω
the-Maiden but Lion and Crab they indeed then both
ἐξείης κέαται βεβλημένοι, αὐτὰρ ὁ κύκλος
in-order lie set but the circle
τὸν μὲν ὑπὸ στῆθος καὶ γαστέρα μέχρι παρ᾽ αἰδῶ
him indeed under breast and belly up-to by privates
τέμνει, τὸν δὲ διηνεκέως ὑπένερθε χελείου
cuts the-other and continuously below shell
Καρκίνον, ᾗχι μάλιστα διχαιόμενόν κε νοήσαις
Crab where most halved — you-might-perceive
ὀρθόν, ἵν᾽ ὀφθαλμοὶ κύκλου ἑκάτερθεν ἴοιεν.
upright where eyes the-circle on-each-side might-go
τοῦ μέν, ὅσον τε μάλιστα, δι᾽ ὀκτὼ μετρηθέντος,
of-it indeed as-much — most through eight measured
πέντε μὲν ἔνδια στρέφεται καθ᾽ ὑπέρτερα γαίης,
five indeed in-the-sky turn over above earth
τὰ τρία δ᾽ ἐν περάτῃ· θέρεος δέ οἱ ἐν τροπαί εἰσιν.
the three and in the-far of-summer and its in turnings are
ἀλλ᾽ ὁ μὲν ἐν βορέω περὶ Καρκίνον ἐστήρικται.
but the-one indeed in north round Crab is-fixed

The winter tropic passes through the Goat-horned and below the earth; the equator lies between, where day equals night. The zodiac slants across them all, divided into twelve signs. The sun travels through them in a year, and six signs always rise and six set each night.

Ἄλλος δ' ἀντιόωντι νότῳ μέσον Αἰγοκερῆα
The-other and in-the-opposing south middle Goat-horned
τέμνει καὶ πόδας Ὑδροχόου καὶ Κήτεος οὐρήν·
cuts and feet of-the-Water-pourer and of-the-Monster tail
ἐν δέ οἱ ἐστι Λαγωός· ἀτὰρ Κυνὸς οὐ μάλα πολλὴν
in and it is the-Hare but of-the-Dog not very much
αἴνυται, ἀλλ' ὁπόσην ἐπέχει ποσίν· ἐν δέ οἱ Ἀργώ,
takes but as-much-as holds with-feet in and it Argo
καὶ μέγα Κενταύροιο μετάφρενον, ἐν δέ τε κέντρον
and great of-the-Centaur back in and — sting
Σκορπίου, ἐν καὶ Τόξον ἀγαυοῦ Τοξευτῆρος.
of-the-Scorpion in also the-Bow of-glorious Archer
τὸν πύματον καθαροῖο παρερχόμενος βορέαο
the last of-clear passing north-wind
ἐς νότον ἠέλιος φέρεται· τρέπεταί γε μὲν αὐτοῦ
to south the-sun is-borne turns indeed indeed there
χειμέριος. καί οἱ τρία μὲν περιτέλλεται ὑψοῦ
wintry and of-it three indeed revolve high
τῶν ὀκτώ, τὰ δὲ πέντε κατώρυχα δινεύονται.
of-the eight the and five underground whirl
Μεσσόθι δ' ἀμφοτέρων, ὅσσος πολιοῖο Γάλακτος,
Between and both as-great-as of-gray Milk
γαῖαν ὑποστρέφεται κύκλος διχόωντι ἐοικώς·
earth turns-under circle to-one-halving like

ἐν δέ οἱ ἤματα νυξὶν ἰσαίεται ἀμφοτέρῃσιν,
in and it days with-nights are-equal both
φθίνοντος θέρεος, τοτὲ δ' εἴαρος ἱσταμένοιο.
waning summer at-times and spring beginning
σῆμα δέ οἱ Κριὸς Ταύροιό τε γούνατα κεῖται,
sign and to-it Ram of-Bull and knees lie
Κριὸς μὲν κατὰ μῆκος ἐληλάμενος διὰ κύκλου,
Ram indeed along length driven through circle
Ταύρου δὲ σκελέων ὅσση περιφαίνεται ὀκλάξ.
of-Bull and legs as-much-as appears bent
ἐν δέ τέ οἱ ζώνη εὐφεγγέος Ὠρίωνος
in and — it girdle of-bright Orion
καμπή τ' αἰθομένης Ὕδρης· ἐνί οἱ καὶ ἐλαφρὸς
curve and of-burning Hydra in it also light
Κρητήρ, ἐν δὲ Κόραξ, ἐνὶ δ' ἀστέρες οὐ μάλα πολλοὶ
Bowl in and Raven in and stars not very many
Χηλάων· ἐν τῷ δ' Ὀφιούχεα γοῦνα φορεῖται.
of-Claws in it and Serpent-holder's knees are-borne
οὐ μὴν Αἰητοῦ ἀπαμείρεται, ἀλλά οἱ ἐγγὺς
not indeed of-the-Eagle is-deprived but to-it near
Ζηνὸς ἀητεῖται μέγας ἄγγελος. ἡ δὲ κατ' αὐτὸν
of-Zeus flies great messenger the and along it
ἱππείη κεφαλὴ καὶ ὑπαύχενον εἱλίσσονται.
horse's head and neck-region wheel

Τοὺς μὲν παρβολάδην ὀρθοὺς περιβάλλεται ἄξων
Them indeed side-by-side upright embraces the-axis
μεσσόθι πάντας ἔχων· ὁ δὲ τέτρατος ἐσφήκωται
in-the-middle all holding the and fourth is-girt
λοξὸς ἐν ἀμφοτέροις, οἵ μίν ῥ' ἑκάτερθεν ἔχουσιν
slanting in both which it then on-each-side hold
ἀντιπέρην τροπικοί, μέσσος δέ ἑ μεσσόθι τέμνει.
opposite tropics middle and it in-the-middle cuts
οὔ κεν Ἀθηναίης χειρῶν δεδιδαγμένος ἀνὴρ
not — of-Athena by-hands taught man
ἄλλῃ κολλήσαιτο κυλινδόμενα τροχάλεια
otherwise could-glue rolling wheels
τοιά τε καὶ τόσα πάντα περισφαιρηδὸν ἑλίσσων,
such both and so-many all sphere-wise whirling
ὡς τά γ' ἐναιθέρια πλαγίῳ συναρηρότα κύκλῳ
as these indeed heavenly to-slanting fitted circle
ἐξ ἠοῦς ἐπὶ νύκτα διώκεται ἤματα πάντα.
from dawn to night are-driven days all
καὶ τὰ μὲν ἀντέλλει καὶ αὐτίκα νειόθι δύνει
and these indeed rise and at-once below set
πάντα παραβλήδην· μία δέ σφεων ἐστὶν ἑκάστου
all side-by-side one and of-them is of-each
ἑξείης ἑκάτερθε κατηλυσίη τ' ἄνοδός τε.
in-order on-each-side setting both rising and
αὐτὰρ ὅ γ' ὠκεανοῦ τόσσον παραμείβεται ὕδωρ,
but it indeed of-ocean so-much passes water

ὅσσον ἀπ᾽ Αἰγοκερῆος ἀνερχομένοιο μάλιστα
as-much-as from Goat-horned rising most
Καρκίνον εἰς ἀνιόντα κυλίνδεται· ὅσσον ἁπάντη
Crab to rising rolls as-much-as everywhere
ἀντέλλων ἐπέχει, τόσσον γε μὲν ἀλλόθι δύνων.
rising holds so-much indeed indeed elsewhere setting
ὅσσον δ᾽ ὀφθαλμοῖο βολῆς ἀποτέμνεται αὐγή,
as-much-as and of-the-eye of-the-glance cuts-off ray
ἑξάκις ἂν τόσση μιν ὑποδράμοι. αὐτὰρ ἑκάστη
six-times — so-much it would-run-under but each
ἴση μετρηθεῖσα δύω περιτέμνεται ἄστρα.
equal measured two cuts-off constellations
Ζωΐδιον δέ ἑ κύκλον ἐπίκλησιν καλέουσιν.
Zodiac and it circle by-name they-call
Τῷ ἔνι Καρκίνος ἐστί, Λέων δ᾽ ἐπὶ τῷ, καὶ ὑπ᾽ αὐτὸν
It in Crab is Lion and after it and under it
Παρθένος· αἱ δ᾽ ἐπί οἱ Χηλαὶ καὶ Σκορπίος αὐτός,
Maiden the and after her Claws and Scorpion himself
Τοξευτής τε καὶ Αἰγόκερως, ἐπὶ δ᾽ Αἰγοκερῆϊ
Archer both and Goat-horned after and Goat-horned
Ὑδροχόος· δύο δ᾽ αὐτὸν ὕπ᾽ Ἰχθύες ἀστερόωνται·
Water-pourer two and him under Fishes are-starred
τοὺς δὲ μέτα Κριός, Ταῦρός δ᾽ ἐπὶ τῷ Δίδυμοί τε.
them and after Ram Bull and after it Twins and
ἐν τοῖς ἠέλιος φέρεται δυοκαίδεκα πᾶσιν
among these the-sun is-borne twelve all
πάντ᾽ ἐνιαυτὸν ἄγων, καί οἱ περὶ τοῦτον ἰόντι
whole year bringing and to-him round this going
κύκλον ἀέξονται πᾶσαι ἐπικάρπιοι ὧραι.
circle are-increased all fruitful seasons

Τοῦ δ' ὅσσον κοίλοιο κατ' ὠκεανοῖο δύηται,
Of-it and as-much-as hollow under ocean sets
τόσσον ὑπὲρ γαίης φέρεται· πάσῃ δ' ἐπὶ νυκτὶ
so-much above earth is-borne every and on night
ἓξ αἰεὶ δύνουσι δυωδεκάδες κύκλοιο,
six always set twelfths of-the-circle
τόσσαι δ' ἀντέλλουσι. τόσον δ' ἐπὶ μῆκος ἑκάστη
so-many and rise so-much and over length each
νὺξ αἰεὶ τετάνυσται, ὅσον τέ περ ἥμισυ κύκλου
night always is-stretched as-much-as — indeed half of-circle
ἀρχομένης ἀπὸ νυκτὸς ἀείρεται ὑψόθι γαίης.
beginning from night is-raised above earth

XI · RISINGS AND SETTINGS

The poet tells which stars rise and set together with each sign, so a watcher can know the hour of night. As the Crab rises, the Crown and the Southern Fish set, and the Lion, the Maiden, and the Claws each bring other figures up and down. The Serpent-holder, Bootes, and Cepheus rise and set in parts.

Οὔ κεν ἀπόβλητον δεδοκημένῳ ἤματος εἴη
Not — useless for-one-watching of-the-day would-be
μοιράων σκέπτεσθαι ὅτ' ἀντέλλῃσιν ἑκάστη·
the-portions to-observe when rises each

αἰεὶ γὰρ τάων γε μιῇ συνανέρχεται αὐτὸς
always for of-them indeed one rises-with himself
ἠέλιος. τὰς δ' ἄν κε περισκέψαιο μάλιστα
the-sun them and — — you-might-observe most
εἰς αὐτὰς ὁρόων· ἀτὰρ εἰ νεφέεσσι μέλαιναι
at them looking but if with-clouds dark
γίνοιντ' ἢ ὄρεος κεκρυμμέναι ἀντέλλοιεν,
they-become or by-mountain hidden rise
σήματ' ἐπερχομένῃσιν ἀρηρότα ποιήσασθαι.
signs for-the-coming fitting to-make
αὐτὸς δ' ἂν μάλα τοι κεράων ἑκάτερθε διδοίη
himself and — very to-you of-horns on-each-side may-give
Ὠκεανός, τά τε πολλὰ περιστρέφεται ἑοῖ αὐτῷ,
Ocean which — many-things turns-round about-him himself
νειόθεν ὁππῆμος κείνων φορέῃσιν ἑκάστην.
from-below when of-those he-brings each
Οὔ οἱ ἀφαυρότατοι, ὅτε Καρκίνος ἀντέλλῃσιν,
Not to-it faintest when the-Crab rises
ἀστέρες ἀμφοτέρωθεν ἑλισσόμενοι περίκεινται,
stars on-both-sides wheeling lie-around
τοὶ μὲν δύνοντες, τοὶ δ' ἐξ ἑτέρης ἀνιόντες.
some indeed setting some and from the-other rising
δύνει μὲν Στέφανος, δύνει δὲ κατὰ ῥάχιν Ἰχθύς.
sets indeed the-Crown sets and along back the-Fish
ἥμισυ μέν κεν ἴδοιο μετήορον, ἥμισυ δ' ἤδη
half indeed — you-may-see aloft half and already
ἐσχατιαὶ βάλλουσι κατερχομένου Στεφάνοιο.
the-extremities cast of-setting Crown

αὐτὰρ ὅ γ' ἐξόπιθεν τετραμμένος ἄλλα μὲν οὔπω
but he indeed from-behind turned others indeed not-yet
γαστέρι νειαίρῃ, τὰ δ' ὑπέρτερα νυκτὶ φορεῖται.
with-belly lowest the and higher by-night is-borne
τὸν δὲ καὶ εἰς ὤμους κατάγει μογερὸν Ὀφιοῦχον
him and even to shoulders brings-down wretched Serpent-holder
Καρκίνος ἐκ γονάτων, κατάγει δ' Ὄφιν αὐχένος ἐγγύς.
Crab from knees brings-down and Snake neck near
οὐδ' ἂν ἔτ' Ἀρκτοφύλαξ εἴη πολὺς ἀμφοτέρωθεν,
nor — still Bear-ward would-be much on-both-sides
μείων ἠμάτιος, τὸ δ' ἐπὶ πλέον ἔννυχος ἤδη.
lesser by-day the and on more by-night already
τέτρασι γὰρ μοίραις ἄμυδις κατιόντα Βοώτην
four for with-portions together going-down Bootes
Ὠκεανὸς δέχεται· ὁ δ' ἐπὴν φάεος κορέσηται,
Ocean receives he and when of-light he-has-his-fill
βουλυτῷ ἐπέχει πλεῖον δίχα νυκτὸς ἰούσης,
at-ox-loosing holds more half of-night going
ἦμος ὅτ' ἠελίοιο κατερχομένοιο δύηται.
at-the-time when of-the-sun setting he-sets
κεῖναί οἱ καὶ νύκτες ἐπ' ὀψὲ δύοντι λέγονται.
those for-him also nights at late setting are-called
ὣς οἱ μὲν δύνουσιν, ὁ δ' ἀντίος, οὐδὲν ἀεικής,
so they indeed set he and opposite nothing unseemly
ἀλλ' εὖ μὲν ζώνῃ, εὖ δ' ἀμφοτέροισι φαεινὸς
but well indeed in-girdle well and both shining
ὤμοις Ὠρίων, ξίφεός γε μὲν ἶφι πεποιθώς,
on-shoulders Orion of-sword indeed indeed in-might trusting
πάντα φέρων Ποταμόν, κέραος παρατείνεται ἄλλου.
all bearing River of-horn stretches-along other

Ἐρχομένῳ δὲ Λέοντι τὰ μὲν κατὰ πάντα φέρονται
With-coming and Lion the indeed down all are-borne
Καρκίνῳ ὅσσ' ἐδύοντο, καὶ Αἰετός. αὐτὰρ ὅ γε Γνὺξ
with-Crab as-many-as set and Eagle but he indeed Kneeler
ἥμενος ἄλλα μὲν ἤδη, ἀτὰρ γόνυ καὶ πόδα λαιὸν
sitting others indeed already but knee and foot left
οὔπω κυμαίνοντος ὑποστρέφει ὠκεανοῖο.
not-yet billowing turns-under ocean
ἀντέλλει δ' Ὕδρης κεφαλὴ χαροπός τε Λαγωὸς
rises and of-Hydra head bright and Hare
καὶ Προκύων πρότεροί τε πόδες Κυνὸς αἰθομένοιο.
and Procyon fore and feet of-the-Dog blazing
Οὐ μέν θην ὀλίγους γαίης ὑπὸ νείατα βάλλει
Not indeed surely few earth under lowest casts
Παρθένος ἀντέλλουσα. Λύρη τότε Κυλληναίη
Maiden rising Lyre then Cyllenian
καὶ Δελφὶς δύνουσι καὶ εὐποίητος Ὀϊστός·
and Dolphin set and well-made Arrow
σὺν τοῖς Ὄρνιθος πρῶτα πτερὰ μέσφα παρ' αὐτὴν
with them of-the-Bird first wings up-to by itself
οὐρὴν καὶ Ποταμοῖο παρηορίαι σκιόωνται·
tail and of-the-River the-traces are-shadowed
δύνει δ' Ἱππείη κεφαλή, δύνει δὲ καὶ αὐχήν.
sets and Horse's head sets and also neck
ἀντέλλει δ' Ὕδρη μὲν ἐπὶ πλέον ἄχρι παρ' αὐτὸν
rises and Hydra indeed on more up-to by itself
Κρητῆρα, φθάμενος δὲ Κύων πόδας αἴνυται ἄλλους,
Bowl first and Dog feet takes other
ἕλκων ἐξόπιθεν πρύμνην πολυτειρέος Ἀργοῦς.
drawing from-behind stern of-the-many-starred Argo

ἡ δὲ θέει γαίης ἰστὸν διχόωσα κατ᾽ αὐτόν,
she and runs of-earth mast halving along itself
Παρθένος ἦμος ἅπασα περαιόθεν ἄρτι γένηται.
Maiden when whole beyond just becomes
Οὐδ᾽ ἂν ἐπερχόμεναι Χηλαί, καὶ λεπτὰ φάουσαι,
Nor — coming Claws even faintly shining
ἄφραστοι παρίοιεν, ἐπεὶ μέγα σῆμα Βοώτης
unmarked would-pass since great sign Bootes
ἀθρόος ἀντέλλει βεβολημένος Ἀρκτούροιο.
all-at-once rises struck of-Arcturus
Ἀργὼ δ᾽ εὖ μάλα πᾶσα μετήορος ἔσσεται ἤδη·
Argo and well very all aloft will-be already
ἀλλ᾽ Ὕδρη, κέχυται γὰρ ἐν οὐρανῷ ἤλιθα πολλή,
but Hydra is-spread for in heaven exceedingly much
οὐρῆς ἂν δεύοιτο. μόνην δ᾽ ἐπὶ Χηλαὶ ἄγουσιν
of-tail — would-lack only and on Claws bring
δεξιτερὴν κνήμην αὐτῆς ἐπιγουνίδος ἄχρις
right shin itself knee up-to
αἰεὶ Γνύξ, αἰεὶ δὲ Λύρῃ παραπεπτηῶτος,
always Kneeler always and by-Lyre crouched
ὅντινα τοῦτον ἄϊστον ὑπουρανίων εἰδώλων
whom this unseen of-heavenly figures
ἀμφότερον δύνοντα καὶ ἐξ ἑτέρης ἀνιόντα
both setting and from the-other rising
πολλάκις αὐτονυχεὶ θηεύμεθα. τοῦ μὲν ἄρ᾽ οἴῃ
often in-the-same-night we-behold of-him indeed then only
κνήμη σὺν Χηλῇσι φαείνεται ἀμφοτέρῃσιν·
shin with Claws shines both

αὐτὸς δ' ἐς κεφαλὴν ἔτι που τετραμμένος ἄλλῃ
himself and to head still somewhere turned elsewhere
Σκορπίον ἀντέλλοντα μένει καὶ ῥύτορα Τόξου·
Scorpion rising awaits and drawer of-the-Bow
οἱ γάρ μιν φορέουσιν, ὁ μὲν μέσον ἄλλα τε πάντα,
they for him bring the-one indeed middle other and all
χεῖρα δέ οἱ σκαιὴν κεφαλήν θ' ἅμα Τόξον ἀγινεῖ.
hand and his left head and together Bow brings
ἀλλ' ὁ μὲν ὣς τρίχα πάντα καταμελεϊστὶ φορεῖται·
but he indeed so in-three all limb-by-limb is-borne
ἥμισυ δὲ Στεφάνοιο καὶ αὐτὴν ἔσχατον οὐρὴν
half and of-the-Crown and itself last tail
Κενταύρου φορέουσιν ἀνερχόμεναι ἔτι Χηλαί.
of-the-Centaur bear rising still Claws
τῆμος ἀποιχομένην κεφαλὴν μέτα δύεται Ἵππος,
then departing head after sets Horse
καὶ προτέρου Ὄρνιθος ἐφέλκεται ἔσχατος οὐρή.
and of-the-former Bird is-drawn last tail
δύνει δ' Ἀνδρομέδης κεφαλή· τὸ δέ οἱ μέγα δεῖμα
sets and of-Andromeda head the and to-her great terror
κήτεος ἠερόεις ἐπάγει νότος· ἀντία δ' αὐτὸς
of-the-monster misty brings south opposite and himself
Κηφεὺς ἐκ βορέω μεγάλῃ ἀνὰ χειρὶ κελεύει.
Cepheus from north great up hand bids
καὶ τὸ μὲν ἐς λοφιὴν τετραμμένον ἄχρι παρ' αὐτὴν
and it indeed to crest turned up-to by itself
δύνει, ἀτὰρ Κηφεὺς κεφαλῇ καὶ χειρὶ καὶ ὤμῳ.
sets but Cepheus with-head and hand and shoulder

As the Scorpion rises, Orion flees, for Artemis once sent the Scorpion to kill him after he seized her robe on Chios. Andromeda, the Sea-monster, and Cepheus set, and Cassiepeia goes down head-first. The Archer, the Goat-horned, the Water-pourer, the Fishes, the Ram, the Bull, and the Twins each bring further risings and settings. A sailor watches the River and Orion for signs of the night and the voyage.

Καμπαὶ δ' ἂν Ποταμοῖο καὶ αὐτίκ' ἐπερχομένοιο
Bends and — of-River and at-once of-coming
Σκορπίου ἐμπίπτοιεν ἐϋρρόου ὠκεανοῖο· 635
Scorpion would-fall-into of-fair-flowing ocean
ὃς καὶ ἐπερχόμενος φοβέει μέγαν Ὡρίωνα.
who also coming frightens great Orion
Ἄρτεμις ἱλήκοι· προτέρων λόγος, οἵ μιν ἔφαντο
Artemis be-gracious of-the-former the-story who him said
ἑλκῆσαι πέπλοιο, Χίῳ ὅτε θηρία πάντα
to-have-dragged of-the-robe in-Chios when beasts all
καρτερὸς Ὡρίων στιβαρῇ ἐπέκοπτε κορύνῃ,
mighty Orion with-stout smote club
θήρης ἀρνύμενος κείνῳ χάριν Οἰνοπίωνι. 640
the-hunt winning for-that gift Oenopion
ἡ δέ οἱ ἐξαυτῆς ἐπετείλατο θηρίον ἄλλο,
she and on-him at-once sent beast another
νήσου ἀναρρήξασα μέσας ἑκάτερθε κολώνας,
of-the-island bursting middle on-both-sides hills
Σκορπίον, ὅς ῥά μιν οὖτα καὶ ἔκτανε πολλὸν ἐόντα
Scorpion which then him wounded and killed great being
πλειότερος προφανείς, ἐπεὶ Ἄρτεμιν ἤκαχεν αὐτήν.
greater appearing since Artemis he-had-offended herself

τούνεκα δὴ καί φασι περαιόθεν ἐρχομένοιο
therefore indeed also they-say beyond of-coming
Σκορπίου Ὠρίωνα περὶ χθονὸς ἔσχατα φεύγειν.
Scorpion Orion round of-earth ends to-flee
οὐδὲ μέν, Ἀνδρομέδης καὶ Κήτεος ὅσσ' ἐλέλειπτο,
nor indeed of-Andromeda and of-the-Monster as-much-as was-left
κείνου ἔτ' ἀντέλλοντος ἀπευθέες, ἀλλ' ἄρα καὶ τοὶ
him still rising unaware but then also they
πανσυδίῃ φεύγουσιν. ὁ δὲ ζώνῃ τότε Κηφεὺς
in-full-haste flee he and with-girdle then Cepheus
γαῖαν ἐπιξύει, τὰ μὲν ἐς κεφαλὴν μάλα πάντα
earth grazes the indeed to head very all
βάπτων ὠκεανοῖο, τὰ δ' οὐ θέμις, ἀλλὰ τά γ' αὐταὶ
dipping in-ocean the and not lawful but them indeed themselves
Ἄρκτοι κωλύουσι, πόδας καὶ γοῦνα καὶ ἰξύν.
Bears prevent feet and knees and loins
ἡ δὲ καὶ αὐτὴ παιδὸς ἐπείγεται εἰδώλοιο
she and also herself of-child hastens of-the-image
δειλὴ Κασσιέπεια. τὰ δ' οὐκέτι οἱ κατὰ κόσμον
wretched Cassiepeia the and no-longer to-her in order
φαίνεται ἐκ δίφροιο, πόδες καὶ γούναθ' ὕπερθεν,
appear from the-chair feet and knees above
ἀλλ' ἥ γ' ἐς κεφαλὴν ἴση δύετ' ἀρνευτῆρι
but she indeed to head like sets to-a-diver
μειρομένη γονάτων, ἐπεὶ οὐκ ἄρ' ἔμελλεν ἐκείνη
deprived of-knees since not then was-about she
Δωρίδι καὶ Πανόπῃ μεγάλων ἄτερ ἰσώσασθαι.
with-Doris and Panope great without to-be-equal

ἡ μὲν ἄρ᾽ εἰς ἑτέρην φέρεται· τὰ δὲ νειόθεν ἄλλα
she indeed then to the-other is-borne the and from-below others
οὐρανὸς ἀντιφέρει, Στεφάνοιό τε δεύτερα κύκλα
heaven brings-up of-the-Crown and second circles
Ὕδρης τ᾽ ἐσχατιήν, φορέει τ᾽ ἔπι Κενταύροιο
of-Hydra and the-end bears and on of-the-Centaur
σῶμά τε καὶ κεφαλὴν καὶ Θηρίον ὅ ῥ᾽ ἐνὶ χειρὶ
body both and head and Beast which then in hand
δεξιτερῇ Κένταυρος ἔχει. τοὶ δ᾽ αὖθι μένουσιν
right Centaur holds they and there remain
τόξον ἐπερχόμενον πρότεροι πόδες ἱππότα Φηρός.
bow coming fore feet of-the-horseman Centaur
Τόξῳ καὶ σπείρῃ Ὄφιος καὶ σῶμ᾽ Ὀφιούχου
With-the-Bow and coil of-Snake and body of-Serpent-holder
ἀντέλλει ἐπιόντι· καρήατα δ᾽ αὐτὸς ἀγινεῖ
rise coming heads and itself brings
Σκορπίος ἀντέλλων, ἀνάγει δ᾽ αὐτὰς Ὀφιούχου
Scorpion rising brings-up and them of-Serpent-holder
χεῖρας καὶ προτέρην Ὄφιος πολυτειρέος ἀγήν.
hands and fore of-Snake many-starred bend
τοῦ γε μὲν Ἐγγόνασιν, περὶ γὰρ τετραμμένος αἰεὶ
of-him indeed indeed Kneeler around for turned always
ἀντέλλει, τότε μὲν περάτης ἐξέρχεται ἄλλα,
rises then indeed from-the-far comes-out other
γυῖά τε καὶ ζώνη καὶ στήθεα πάντα καὶ ὦμος
limbs both and girdle and breast all and shoulder
δεξιτερῇ σὺν χειρί· κάρη δ᾽ ἑτέρης μετὰ χειρὸς
right with hand head and the-other with hand
Τόξῳ ἀνέρχονται καὶ Τοξότηι ἀντέλλοντι.
with-Bow come-up and with-Archer rising

σὺν τοῖς Ἑρμαίη τε Λύρη καὶ στήθεος ἄχρις
with them Hermes' and Lyre and breast up-to
Κηφεὺς ἠῴου παρελαύνεται ὠκεανοῖο,
Cepheus of-eastern passes ocean
ἦμος καὶ μεγάλοιο Κυνὸς πᾶσαι ἀμαρυγαὶ
when also of-great Dog all gleams
δύνουσιν, καὶ πάντα κατέρχεται Ὠρίωνος,
set and all goes-down of-Orion
πάντα γε μὴν ἀτέλεστα διωκομένοιο Λαγωοῦ.
all indeed indeed unfinished of-pursued Hare
ἀλλ' οὐχ Ἡνιόχῳ Ἔριφοι οὐδ' Ὠλενίη Αἴξ
but not with-Charioteer Kids nor Olenian Goat
εὐθὺς ἀπέρχονται· τὰ δέ οἱ μεγάλην ἀνὰ χεῖρα
at-once go-away they and his great on hand
λάμπονται, καί οἱ μελέων διακέκριται ἄλλων
shine and his of-limbs is-distinguished other
κινῆσαι χειμῶνας ὅτ' ἠελίῳ συνίωσιν.
to-stir storms when with-sun they-meet
Ἀλλὰ τὰ μὲν, κεφαλήν τε καὶ ἄλλην χεῖρα καὶ ἰξύν,
But they indeed head both and other hand and loins
Αἰγόκερως ἀνιὼν κατάγει· τὰ δὲ νείατα πάντα
Goat-horned rising brings-down the and lowest all
αὐτῷ Τοξευτῆρι κατέρχεται. οὐδέ τι Περσεὺς
with-the-very Archer goes-down nor at-all Perseus
οὐδέ τι ἄκρα κόρυμβα μένει πολυτείρεος Ἀργοῦς·
nor at-all top sternposts remains of-many-starred Argo
ἀλλ' ἤτοι Περσεὺς μὲν ἄτερ γουνός τε ποδός τε
but truly Perseus indeed without knee both foot and
δεξιτεροῦ δύεται, πρύμνης δ' ὅσον ἐς περιαγήν·
right sets of-stern and as-far-as to the-curve

αὐτὴ δ' Αἰγοκερῆϊ κατέρχεται ἀντέλλοντι,
itself and with-Goat-horned goes-down rising
ἦμος καὶ Προκύων δύεται, τὰ δ' ἀνέρχεται ἄλλα,
when also Procyon sets the and come-up others
Ὄρνις τ' Αἰητός τε τά τε πτερόεντος Ὀϊστοῦ
Bird both Eagle and those and of-winged Arrow
τείρεα καὶ νοτίοιο Θυτηρίου ἱερὸς ἕδρη.
stars and of-southern Altar sacred seat
Ἵππος δ' Ὑδροχόοιο νέον περιτελλομένοιο
Horse and with-Water-pourer newly revolving
ποσσί τε καὶ κεφαλῇ ἀνελίσσεται· ἀντία δ' Ἵππου
with-feet both and head rolls-up opposite and the-Horse
ἐξ οὐρῆς Κένταυρον ἐφέλκεται ἀστερίη Νύξ.
by tail the-Centaur draws starry Night
ἀλλ' οὔ οἱ δύναται κεφαλὴν οὐδ' εὐρέας ὤμους
but not him can head nor broad shoulders
αὐτῷ σὺν θώρηκι χαδεῖν. ἀλλ' αἴθοπος Ὕδρης
itself with breastplate to-hold but of-blazing Hydra
αὐχενίην κατάγει σπείρην καὶ πάντα μέτωπα.
neck brings-down coil and all fronts
ἡ δὲ καὶ ἐξόπιθεν πολλὴ μένει· ἀλλ' ἄρα καὶ τὴν
she and also behind much remains but then also her
αὐτῷ Κενταύρῳ, ὁπότ' Ἰχθύες ἀντέλλωσιν,
with-the-very Centaur when Fishes rise
ἀθρόον ἐμφέρεται. ὁ δ' ἐπ' Ἰχθύσιν ἔρχεται Ἰχθὺς
all-together carries-in the and after Fishes comes Fish
αὐτῷ κυανέῳ ὑποκείμενος Αἰγοκερῆϊ,
itself dark-blue lying-under Goat-horned
οὐ μὲν ἄδην, ὀλίγον δὲ δυωδεκάδ' ἀμμένει ἄλλην.
not indeed in-full little but twelfth awaits other

οὕτω καὶ μογεραὶ χεῖρες καὶ γοῦνα καὶ ὦμοι
so also wretched hands and knees and shoulders
Ἀνδρομέδης δίχα πάντα, τὰ μὲν πάρος, ἄλλα δ' ὀπίσσω,
of-Andromeda in-two all the indeed before others and behind
τείνεται, ὠκεανοῖο νέον ὁπότε προγένωνται
are-stretched of-ocean newly when they-come-forth
Ἰχθύες ἀμφότεροι. τὰ μέν οἱ κατὰ δεξιὰ χειρὸς
Fishes both the indeed her on right hand
αὐτοὶ ἐφέλκονται, τὰ δ' ἀριστερὰ νειόθεν ἕλκει
themselves draw the and left from-below draws
Κριός ἀνερχόμενος. τοῦ καὶ περιτελλομένοιο
Ram rising of-him also revolving
ἐσπερόθεν κεν ἴδοιο Θυτήριον· αὐτὰρ ἐν ἄλλῃ
from-the-west — you-may-see Altar but in other
Περσέος ἀντέλλοντος ὅσον κεφαλήν τε καὶ ὤμους.
of-Perseus rising as-much-as head both and shoulders
Αὐτὴ δὲ ζώνη καί κ' ἀμφήριστα πέλοιτο
Itself and girdle and — disputed would-be
ἢ Κριῷ λήγοντι φαείνεται ἢ ἐπὶ Ταύρῳ,
whether with-Ram ending it-shines or with Bull
σὺν τῷ πανσυδίῃ ἀνελίσσεται. οὐδ' ὅ γε Ταύρου
with it in-full-haste rolls-up nor he indeed of-Bull
λείπεται ἀντέλλοντος, ἐπεὶ μάλα οἱ συναρηρὼς
is-left rising since very to-him fitted
Ἡνίοχος φέρεται· μοίρῃ γε μὲν οὐκ ἐπὶ ταύτῃ
Charioteer is-borne portion indeed indeed not in this
ἀθρόος ἀντέλλει, Δίδυμοι δέ μιν οὖλον ἄγουσιν.
all-at-once rises Twins and him whole bring

ἀλλ᾽ Ἔριφοι λαιοῦ τε θέναρ ποδὸς Αἰγὶ σὺν αὐτῇ
but Kids of-left and sole foot Goat with herself
Ταύρῳ συμφορέονται, ὅτε λοφίη τε καὶ οὐρὴ
with-Bull are-borne-together when crest both and tail
Κήτεος αἰθερίοιο περαιόθεν ἀντέλλωσιν.
of-the-Monster aerial beyond rise
δύνει δ᾽ Ἀρκτοφύλαξ ἤδη πρώτῃ τότε μοίρῃ
sets and Bear-ward already in-first then portion
τάων, αἳ πίσυρές μιν ἄτερ χειρὸς κατάγουσιν
of-those which four him without hand bring-down
λαιῆς· ἡ δ᾽ αὐτῷ μεγάλῃ ὑποτέλλεται Ἄρκτῳ.
left it and to-it great rises-under Bear
Ἀμφότεροι δὲ πόδες καταδυομένου Ὀφιούχου,
Both and feet of-setting Serpent-holder
μέσφ᾽ αὐτῶν γονάτων, Διδύμοις ἔπι σῆμα τετύχθω
up-to their-own knees Twins on sign be-made
ἐξ ἑτέρης ἀνιοῦσι. τόθ᾽ οὐκέτι Κήτεος οὐδὲν
from the-other rising then no-longer of-the-Monster nothing
ἕλκεται ἀμφοτέρωθεν, ὅλον δέ μιν ὄψεαι ἤδη.
is-drawn on-both-sides whole and him you-will-see already
ἤδη καὶ Ποταμοῦ πρώτην ἁλὸς ἐξανιοῦσαν
already also of-River first from-the-sea rising
ἀγὴν ἐν καθαρῷ πελάγει σκέψαιτό κε ναύτης,
bend in clear sea may-watch — a-sailor
αὐτὸν ἐπ᾽ Ὠρίωνα μένων, εἴ οἱ ποθι σῆμα
himself for Orion waiting if to-him somewhere sign
ἢ νυκτὸς μέτρων ἠὲ πλόου ἀγγείλειεν.
either of-night of-measures or of-voyage may-announce
πάντη γὰρ τά γε πολλὰ θεοὶ ἄνδρεσσι λέγουσιν.
everywhere for these indeed many gods to-men tell

The moon's waxing and waning mark the days of the month, and the sun's journey marks the year. Signs of storm can be read by watching the stars, and the moon's horns, color, and halos foretell wind, rain, or fair weather.

Οὐχ ὁράᾳς; ὀλίγη μὲν ὅταν κεράεσσι σελήνη
Not you-see small indeed when with-horns the-moon
ἑσπερόθεν φαίνηται, ἀεξομένοιο διδάσκει
from-the-west appears of-the-waxing it-teaches
μηνός· ὅτε πρώτη ἀποκίδναται αὐτόθεν αὐγή,
month when first spreads from-there light
ὅσσον ἐπισκιάειν, ἐπὶ τέτρατον ἦμαρ ἰοῦσα·
as-much-as to-cast-shadow toward fourth day going
ὀκτὼ δ' ἐν διχάσει· διχόμηνα δὲ παντὶ προσώπῳ.
eight and at half-moon full-moon and with-whole face
αἰεὶ δ' ἄλλοθεν ἄλλα παρακλίνουσα μέτωπα
always and from-one-side other turning foreheads
εἴρει ὁποσταίη μηνὸς περιτέλλεται ἠώς.
it-tells what-day of-the-month revolves the-dawn
Ἄκρα γε μὴν νυκτῶν κεῖναι δυοκαίδεκα μοῖραι
The-ends indeed indeed of-nights those twelve portions
ἄρκιαι ἐξειπεῖν. τὰ δέ που μέγαν εἰς ἐνιαυτόν,
sufficient to-tell these and somewhere great into year
ὥρη μέν τ' ἀρόσαι νειούς, ὥρη δὲ φυτεῦσαι,
season indeed and to-plow fallows season and to-plant
ἐκ Διὸς ἤδη πάντα πεφασμένα πάντοθι κεῖται.
from Zeus already all shown everywhere lie

καὶ μέν τις καὶ νηΐ πολυκλύστου χειμῶνος
and indeed someone also for-a-ship of-wave-dashed storm
ἐφράσατ᾽ ἢ δεινοῦ μεμνημένος Ἀρκτούροιο
has-perceived or of-dread mindful Arcturus
ἠέ τεων ἄλλων, οἵ τ᾽ ὠκεανοῦ ἀρύονται
or of-some others who and from-ocean draw
ἀστέρες ἀμφιλύκης, οἵ τε πρώτης ἔτι νυκτός.
stars at-twilight who and at-first still night
ἤτοι γὰρ τοὺς πάντας ἀμείβεται εἰς ἐνιαυτὸν
truly for them all changes into the-year
ἠέλιος μέγαν ὄγμον ἐλαύνων, ἄλλοτε δ᾽ ἄλλῳ
the-sun great swath driving at-one-time and another
ἐμπλήσει, τοτὲ μέν τ᾽ ἀνιὼν τοτὲ δ᾽ αὐτίκα δύνων·
fills at-times indeed — rising at-times and at-once setting
ἄλλος δ᾽ ἀλλοίην ἀστὴρ ἐπιδέρκεται ἠῶ.
another and other star looks-upon dawn

Γινώσκεις τάδε καὶ σύ, τὰ γὰρ συναείδεται ἤδη
You-know these also you they for are-sung-together already
ἐννεακαίδεκα κύκλα φαεινοῦ ἠελίοιο,
nineteen cycles of-shining sun
ὅσσα τ᾽ ἀπὸ ζώνης εἰς ἔσχατον Ὠρίωνα
as-many-as and from girdle to farthest Orion
Νὺξ ἐπιδινεῖται Κύνα τε θρασὺν Ὠρίωνος,
Night whirls-round Dog and bold of-Orion
οἵ τε Ποσειδάωνος ὁρώμενοι ἢ Διὸς αὐτοῦ
who and of-Poseidon seen or of-Zeus himself
ἀστέρες ἀνθρώποισι τετυγμένα σημαίνουσιν.
stars to-men wrought signify

τῶ κείνων πεπόνησο· μέλοι δέ τοι, εἴ ποτε νηΐ
therefore of-those labor let-it-be-a-care and to-you if ever to-ship
πιστεύεις, εὑρεῖν ὅσα που κεχρημένα κεῖται
you-trust to-find as-many-as somewhere needed lie
σήματα χειμερίοις ἀνέμοις ἢ λαίλαπι πόντου.
signs for-wintry winds or for-the-squall of-the-sea
μόχθος μέν τ' ὀλίγος, τὸ δὲ μυρίον αὐτίκ' ὄνειαρ
labor indeed — small the and countless at-once profit
γίνετ' ἐπιφροσύνης αἰεὶ πεφυλαγμένῳ ἀνδρί.
becomes of-heedfulness always to-a-watchful man
αὐτὸς μὲν τὰ πρῶτα σαώτερος, εὖ δὲ καὶ ἄλλον
himself indeed the first safer well and also another
παρειπὼν ὤνησεν, ὅτ' ἐγγύθεν ὄρορε χειμών.
advising helps when near rose storm
Πολλάκι γὰρ καί τίς τε γαληναίῃ ὑπὸ νυκτὶ
Often for also someone — calm under night
νῆα περιστέλλει πεφοβημένος ἦρι θαλάσσης·
ship furls fearing at-dawn of-the-sea
ἄλλοτε δὲ τρίτον ἦμαρ ἐπιτρέχει, ἄλλοτε πέμπτον,
at-times and third day comes-on at-times fifth
ἄλλοτε δ' ἀπρόφατον κακὸν ἵκετο· πάντα γὰρ οὔπω
at-times and unforeseen evil came all for not-yet
ἐκ Διὸς ἄνθρωποι γινώσκομεν, ἀλλ' ἔτι πολλὰ
from Zeus men know but still many
κέκρυπται, τῶν αἴ κε θέλῃ καὶ ἐσαυτίκα δώσει
are-hidden of-which if — he-wish also forthwith he-will-give
Ζεύς· ὁ γὰρ οὖν γενεὴν ἀνδρῶν ἀναφανδὸν ὀφέλλει,
Zeus he for then race of-men openly benefits
πάντοθεν εἰδόμενος, πάντη δ' ὅ γε σήματα φαίνων.
on-all-sides appearing everywhere and he indeed signs showing

ἄλλα δέ τοι ἐρέει ἤπου διχόωσα σελήνη
other and to-you will-tell either halving moon
πληθύος ἀμφοτέρωθεν ἢ αὐτίκα πεπληθυῖα·
of-fullness on-both-sides or at-once full
ἄλλα δ' ἀνερχόμενος, τοτὲ δ' ἄκρῃ νυκτὶ κελεύων
other and rising at-times and at-the-edge of-night bidding
ἠέλιος· τὰ δέ τοι καὶ ἀπ' ἄλλων ἔσσεται ἄλλα
the-sun the and to-you also from others will-be other
σήματα καὶ περὶ νυκτὶ καὶ ἤματι ποιήσασθαι.
signs both about night and day to-make
Σκέπτεο δὲ πρῶτον κεράων ἑκάτερθε σελήνην.
Watch and first of-horns on-each-side the-moon
ἄλλοτε γάρ τ' ἄλλῃ μιν ἐπιγράφει ἕσπερος αἴγλῃ,
at-times for — other it outlines evening with-light
ἄλλοτε δ' ἀλλοῖαι μορφαὶ κερόωσι σελήνην
at-times and other shapes horn the-moon
εὐθὺς ἀεξομένην, αἱ μὲν τρίτῃ, αἱ δὲ τετάρτῃ·
straightway waxing they indeed at-third they and at-fourth
τάων καὶ περὶ μηνὸς ἐφεσταότος κε πύθοιο.
of-which even about month present — you-may-learn
λεπτὴ μὲν καθαρή τε περὶ τρίτον ἦμαρ ἐοῦσα
thin indeed clear and about third day being
εὔδιός κ' εἴη· λεπτὴ δὲ καὶ εὖ μάλ' ἐρευθὴς
calm — would-be thin but and well very red
πνευματίῃ· παχίων δὲ καὶ ἀμβλείῃσι κεραίαις
windy thicker but and with-blunt horn-tips
τέτρατον ἐκ τριτάτοιο φόως ἀμενηνὸν ἔχουσα
fourth from third light feeble having
ἢ νότῳ ἄμβλυνται ἢ ὕδατος ἐγγὺς ἐόντος.
either by-south it-is-blunted or of-rain near being

εἰ δέ κ' ἀπ' ἀμφοτέρων κεράων, τρίτον ἦμαρ ἄγουσα,
if and — from both horns third day bringing
μήτ' ἐπινευστάζῃ μήθ' ὑπτιόωσα φαείνῃ,
neither nod-forward nor leaning-back shine
ἀλλ' ὀρθαὶ ἑκάτερθε περιγνάμπτωσι κεραῖαι,
but upright on-each-side curve horn-tips
ἑσπέριοί κ' ἄνεμοι κείνην μετὰ νύκτα φέροιντο.
western — winds that after night may-be-borne
εἰ δ' αὕτως ὀρθὴ καὶ τέτρατον ἦμαρ ἀγινεῖ,
if and so upright also fourth day it-brings
ἦ τ' ἂν χειμῶνος συναγειρομένοιο διδάσκοι.
truly — — of-storm gathering it-would-teach
εἰ δέ κέ οἱ κεράων τὸ μετήορον εὖ ἐπινεύῃ,
if and — of-it of-horns the upper well nod-forward
δειδέχθαι βορέω· ὅτε δ' ὑπτιάῃσι, νότοιο.
to-await of-north-wind when and it-leans-back of-south-wind
αὐτὰρ ἐπὴν τριτόωσαν ὅλος περὶ κύκλος ἑλίσσῃ
but when third-day whole round circle winds
πάντῃ ἐρευθόμενος, μάλα κεν τότε χείμερος εἴη·
everywhere reddening very — then stormy would-be
μείζονι δ' ἂν χειμῶνι πυρώτερα φοινίσσοιτο.
in-greater and — storm more-fiery it-would-redden

Σκέπτεο δ' ἐς πληθύν τε καὶ ἀμφότερον διχόωσαν,
Watch and to full-moon both and both halving
ἠμὲν ἀεξομένην ἠδ' ἐς κέρας αὖθις ἰοῦσαν,
both waxing and to horn again going
καί οἱ ἐπὶ χροιῇ τεκμαίρεο μηνὸς ἑκάστου.
and to-it on color judge of-month each
πάντῃ γὰρ καθαρῇ κε μάλ' εὔδια τεκμήραιο·
everywhere for in-clear — very fair-weather you-would-judge

πάντα δ' ἐρευθομένῃ δοκέειν ἀνέμοιο κελεύθους·
all and in-reddening to-expect of-wind paths
ἄλλοθι δ' ἄλλο μελαινομένῃ δοκέειν ὑετοῖο.
elsewhere and other in-blackening to-expect of-rain
σήματα δ' οὐ μάλα πᾶσιν ἐπ' ἤμασι πάντα τέτυκται·
signs but not very for-all on days all are-made
ἀλλ' ὅσα μὲν τριτάτῃ τε τεταρταίῃ τε πέλονται,
but as-many-as indeed on-the-third both on-fourth and are
μέσφα διχαιομένης, διχάδος γε μὲν ἄχρις ἐπ' αὐτὴν
until the-halving the-half indeed indeed up-to to it
σημαίνει διχόμηνον, ἀτὰρ πάλιν ἐκ διχομήνου
signifies full-moon but again from full-moon
ἐς διχάδα φθιμένην· ἔχεται δέ οἱ αὐτίκα τετρὰς
to half waning holds and to-it at-once the-fourth
μηνὸς ἀποιχομένου, τῇ δὲ τριτάτη ἐπιόντος.
of-month departing to-it and third coming
εἰ δέ κέ μιν περὶ πᾶσαν ἁλωαὶ κυκλώσωνται
if and — it about all halos encircle
ἢ τρεῖς ἠὲ δύω περικείμεναι ἠὲ μί' οἴη,
either three or two lying-around or one alone
τῇ μὲν ἰῇ ἀνέμοιο γαληναίης τε δοκεύειν,
with-the indeed one of-wind of-calm and to-watch
ῥηγνυμένῃ ἀνέμοιο, μαραινομένῃ δὲ γαλήνης·
broken of-wind fading and of-calm
ταὶ δύο δ' ἂν χειμῶνι περιτροχάοιντο σελήνην·
the two and — with-storm would-run-round the-moon
μείζονα δ' ἂν χειμῶνα φέροι τριέλικτος ἁλωή,
greater and — storm would-bring thrice-wound halo

καὶ μᾶλλον μελανεῦσα, καὶ εἰ ῥηγνύατο μᾶλλον.
and more blackening and if they-were-broken more
καὶ τὰ μὲν οὖν ἐπὶ μηνὶ σεληναίης κε πύθοιο.
and these indeed then in month of-the-moon — you-may-learn

XIV · SIGNS FROM THE SUN AND THE MANGER

The sun at rising and setting gives signs: a clear disc foretells fair weather, rays split or a hollow look foretell rain or wind, and red or black clouds tell which. The Manger, a faint patch between the two Asses in the Crab, gives signs: if it vanishes, a storm comes, and the brightness of the Asses tells the wind.

Ἠελίοιο δέ τοι μελέτω ἑκάτερθεν ἰόντος.
Of-the-sun and to-you let-it-be-a-care on-each-side going
ἠελίῳ καὶ μᾶλλον ἐοικότα σήματα κεῖται,
to-the-sun also more fitting signs lie
ἀμφότερον δύνοντι καὶ ἐκ περάτης ἀνιόντι.
both setting and from beyond rising
μή οἱ ποικίλλοιτο νέον βάλλοντος ἀρούρας
not to-it be-dappled newly casting on-fields
κύκλος, ὅτ' εὐδίου κεχρημένος ἤματος εἴης,
circle when of-fair needing day you-may-be
μηδέ τι σῆμα φέροι, φαίνοιτο δὲ λιτὸς ἁπάντη.
nor any sign may-it-bear may-it-appear and plain everywhere
εἰ δ' αὕτως καθαρόν μιν ἔχοι βουλύσιος ὥρη,
if and so clear it may-hold at-ox-loosing hour
δύνοι δ' ἀνέφελος μαλακὴν ὑποδείελος αἴγλην,
may-it-set and cloudless soft at-evening light
καί κεν ἐπερχομένης ἠοῦς ἔθ' ὑπεύδιος εἴη.
and — coming dawn still under-fair would-be

ἀλλ᾽ οὐχ ὁππότε κοῖλος ἐειδόμενος περιτέλλῃ,
but not when hollow seeming it-revolves
οὐδ᾽ ὁπότ᾽ ἀκτίνων αἱ μὲν νότον αἱ δὲ βορῆα
nor when of-rays the indeed the-south the and the-north
σχιζόμεναι βάλλωσι, τὰ δ᾽ αὖ περὶ μέσσα φαείνῃ,
splitting cast the and again about middle shine
ἀλλά που ἢ ὑετοῖο διέρχεται ἢ ἀνέμοιο.
but somewhere either of-rain it-passes-through or of-wind
Σκέπτεο δ᾽, εἴ κέ τοι αὐγαὶ ὑπείκωσ᾽ ἠελίοιο,
Watch and if — to-you rays yield of-the-sun
αὐτὸν ἐς ἠέλιον· τοῦ γὰρ σκοπιαὶ καὶ ἄρισται·
itself to sun of-it for watchings and best
εἴ τί οἱ ἤπου ἔρευθος ἐπιτρέχει, οἷά τε πολλὰ
if something to-it perhaps redness runs-over as — many
ἑλκομένων νεφέων ἐρυθαίνεται ἄλλοθεν ἄλλα,
of-drawn clouds redden from-one-side other
ἢ εἴ που μελανεῖ· καί τοι τὰ μὲν ὕδατος ἔστω
or if somewhere it-blackens and to-you the indeed of-rain let-be
σήματα μέλλοντος, τὰ δ᾽ ἐρεύθεα πάντ᾽ ἀνέμοιο.
signs coming the and reds all of-wind
εἴ γε μὲν ἀμφοτέροις ἄμυδις κεχρημένος εἴῃ,
if indeed indeed with-both together marked it-be
καί κεν ὕδωρ φορέοι καὶ ὑπηνέμιος τανύοιτο.
both — water it-may-bring and windy may-stretch
εἰ δέ οἱ ἢ ἀνιόντος ἢ αὐτίκα δυομένοιο
if and to-it either rising or at-once setting
ἀκτῖνες συνίωσι καὶ ἀμφ᾽ ἑνὶ πεπλήθωσιν,
rays come-together and round one are-thronged

ἤ ποτε καὶ νεφέων πεπιεσμένος ἢ ὅ γ᾽ ἐς ἠῶ
or sometimes also by-clouds pressed or he indeed to dawn
ἔρχηται παρὰ νυκτός, ἢ ἐξ ἠοῦς ἐπὶ νύκτα,
comes from night or from dawn toward night
ὕδατί κεν κατιόντι παρατρέχοι ἤματα κεῖνα.
with-water — coming may-pass days those
μηδ᾽ ὅτε οἱ ὀλίγη νεφέλη πάρος ἀντέλλῃσιν,
nor when to-it small cloud before rises
τὴν δὲ μέτ᾽ ἀκτίνων κεχρημένος αὐτὸς ἀερθῇ,
it and after of-rays needing himself is-raised
ἀμνηστεῖν ὑετοῖο. πολὺς δ᾽ ὅτε οἱ περὶ κύκλος
to-forget of-rain great and when his round circle
οἷον τηκομένῳ ἐναλίγκιος εὐρύνηται
like to-one-melting like is-broadened
πρῶτον ἀνερχομένοιο, καὶ ἄψ ἐπὶ μεῖον ἴῃσιν,
first rising and back to smaller goes
εὔδιός κε φέροιτο· καὶ εἴ ποτε χείματος ὥρῃ
fair-weather — it-may-be-borne and if ever of-winter in-season
ὠχρήσαι κατιών. ἀτὰρ ὕδατος ἡμερινοῖο
it-pales setting but of-water by-day
γινομένου κατόπισθε περὶ νέφεα σκοπέεσθαι
coming behind round clouds to-look
κὰδ δὴ δυομένου τετραμμένος ἠελίοιο.
down indeed setting turned the-sun
ἦν μὲν ὑποσκιάῃσι μελαινομένῃ εἰκυῖα
if indeed overshadow blackening like
ἠέλιον νεφέλη, ταὶ δ᾽ ἀμφί μιν ἔνθα καὶ ἔνθα
the-sun a-cloud the and around him here and there
ἀκτῖνες μεσσηγὺς ἐλισσόμεναι διχόωνται,
rays between wheeling are-halved

ἦ τ᾽ ἂν ἔτ᾽ εἰς ἠῶ σκέπαος κεχρημένος εἴης.
truly — — still to dawn of-shelter needing you-would-be
εἰ δ᾽ ὁ μὲν ἀνέφελος βάπτοι ῥόου ἑσπερίοιο,
if but he indeed cloudless dip in-stream western
ταὶ δὲ κατερχομένου νεφέλαι καὶ ἔτ᾽ οἰχομένοιο
the and of-setting clouds and still departing
πλησίαι ἑστήκωσιν ἐρευθέες, οὔ σε μάλα χρὴ
near stand red not you very one-must
ἀΰριον οὐδ᾽ ἐπὶ νυκτὶ περιτρομέειν ὑετοῖο·
tomorrow nor at night to-tremble of-rain
ἀλλ᾽ ὁπότ᾽ ἠελίοιο μαραινομένῃσιν ὁμοῖαι
but when of-the-sun to-failing like
ἐξαπίνης ἀκτῖνες ἀπ᾽ οὐρανόθεν τανύωνται,
suddenly rays from heaven are-stretched
οἷον ἀμαλδύνονται ὅτε σκιάῃσι κατ᾽ ἰθὺ
as are-dimmed when overshadows in line
ἱσταμένη γαίης τε καὶ ἠελίοιο σελήνη.
standing of-earth both and of-sun the-moon
οὐδ᾽, ὅτε οἱ ἐπέχοντι φανήμεναι ἠῶθι πρὸ
nor when to-him holding-back to-appear at-dawn before
φαίνονται νεφέλαι ὑπερευθέες ἄλλοθεν ἄλλαι,
appear clouds very-red from-one-side other
ἄρραντοι γίνονται ἐπ᾽ ἤματι κείνῳ ἄρουραι.
unwatered become on day that fields
μηδ᾽ αὕτως, ἔτ᾽ ἐόντι πέρην ὁπότε προταθεῖσαι
nor so still being beyond when stretched-forth
ἀκτῖνες φαίνονται ἐπίσκιοι ἠῶθι πρό,
rays appear shadowed at-dawn before
ὕδατος ἢ ἀνέμοιο κατοισομένου λελαθέσθαι.
of-water or of-wind coming-down to-forget

ἀλλ᾽ εἰ μὲν κεῖναι μᾶλλον κνέφαος φορέοιντο
but if indeed those more of-darkness be-borne
ἀκτῖνες, μᾶλλόν κεν ἐφ᾽ ὕδατι σημαίνοιεν·
rays more — on water would-signify
εἰ δ᾽ ὀλίγος τανύοιτο περὶ δνόφος ἀκτίνεσσιν,
if and small be-stretched round darkness on-rays
οἷόν που μαλακαὶ νεφέλαι φορέουσι μάλιστα,
as somewhere soft clouds bring most
ἦ τ᾽ ἂν ἐπερχομένοιο περιδνοφέοιντ᾽ ἀνέμοιο.
truly — — of-coming would-be-darkened wind
οὐδὲ μὲν ἠελίου σχεδόθεν μελανεῦσαι ἁλωαὶ
nor indeed the-sun near blackening halos
εὔδιοι· ἀσσότεραι δὲ καὶ ἀστεμφὲς μελανεῦσαι
fair nearer and also steadily blackening
μᾶλλον χειμέριαι· δύο δ᾽ ἂν χαλεπώτεραι εἶεν.
more stormy two and — harsher would-be
Σκέπτεο δ᾽ ἢ ἀνιόντος ἢ αὐτίκα δυομένοιο,
Watch and either rising or at-once setting
εἴ πού οἱ νεφέων τὰ παρήλια κικλήσκονται
if somewhere to-him of-clouds the mock-suns are-called
ἢ νότου ἠὲ βορῆος ἐρεύθεται ἢ ἑκάτερθεν,
either of-south or of-north reddens or on-both-sides
μηδ᾽ οὕτω σκοπιὴν ταύτην ἀμενηνὰ φυλάσσειν.
nor so watch this feebly to-keep
οὐ γάρ, ὅτ᾽ ἀμφοτέρωθεν ὁμοῦ περὶ μέσσον ἔχουσιν
not for when from-both-sides together round middle hold
ἠέλιον κεῖναι νεφέλαι σχεδὸν ὠκεανοῖο,
sun those clouds near ocean
γίνεται ἀμβολίη διόθεν χειμῶνος ἰόντος.
comes delay from-Zeus of-storm going

εἴ γε μὲν ἐκ βορέαο μί᾽ οἴη φοινίσσοιτο,
if indeed indeed from north one alone redden
ἐκ βορέω πνοιάς κε φέροι, νοτίη δὲ νότοιο,
from north breaths — it-may-bring southern and of-south
ἢ καί που ῥαθάμιγγες ἐπιτροχόωσ᾽ ὑετοῖο.
or also somewhere drops run-over of-rain
Ἑσπερίοις καὶ μᾶλλον ἐπίτρεπε σήμασι τούτοις·
To-evening also more trust signs these
ἑσπερόθεν γὰρ ὁμῶς σημαίνεται ἐμμενὲς αἰεί.
from-evening for alike it-is-signified steadily always
Σκέπτεο καὶ Φάτνην. ἡ μέν τ᾽ ὀλίγῃ εἰκυῖα
Watch also Manger it indeed — small like
ἀχλύϊ βορραίῃ ὑπὸ Καρκίνῳ ἡγηλάζει·
mist northern under Crab leads
ἀμφὶ δέ μιν δύο λεπτὰ φαεινόμενοι φορέονται
round and it two faintly shining are-borne
ἀστέρες, οὔτε τι πολλὸν ἀπήοροι, οὔτε μάλ᾽ ἐγγύς,
stars neither at-all much apart nor very near
ἀλλ᾽ ὅσσον τε μάλιστα πυγούσιον οἰίσασθαι·
but as-much-as — most a-cubit to-suppose
εἷς μὲν πὰρ βορέαο· νότῳ δ᾽ ἐπικέκλιται ἄλλος.
one indeed by the-north to-the-south and leans other
καὶ τοὶ μὲν καλέονται Ὄνοι· μέσση δέ τε Φάτνη.
and they indeed are-called Asses middle and — Manger
ἥτε καὶ ἐξαπίνης πάντη Διὸς εὐδιόωντος
which also suddenly wholly Zeus being-in-fair-weather
γίνετ᾽ ἄφαντος ὅλη· τοὶ δ᾽ ἀμφοτέρωθεν ἰόντες
becomes invisible whole they and on-both-sides going
ἀστέρες ἀλλήλων αὐτοσχεδὸν ἰνδάλλονται·
stars each-other near appear

οὐκ ὀλίγῳ χειμῶνι τότε κλύζονται ἄρουραι.
not small storm then are-washed fields
εἰ δὲ μελαίνηται, τοὶ δ' αὐτίκ' ἐοικότες ὦσιν
if and it-blackens they and at-once like be
ἀστέρες ἀμφότεροι, περί χ' ὕδατι σημαίνοιεν.
stars both about — water would-signify
εἰ δ' ὁ μὲν ἐκ βορέω Φάτνης ἀμενηνὰ φαείνοι
if and the indeed from north of-the-Manger faintly shine
λεπτὸν ἐπαχλύων, νότιος δ' Ὄνος ἀγλαὸς εἴη,
thinly misty southern and Ass bright be
δειδέχθαι ἀνέμοιο νότου· βορέω δὲ μάλα χρὴ
to-await of-wind south from-north and very one-must
ἔμπαλιν ἀχλυόεντι φαεινομένῳ τε δοκεύειν.
in-reverse misty shining and to-watch

XV · SIGNS OF WIND AND RAIN

Wind is foretold by a swelling sea, echoing shores and mountain peaks, herons crying, and shooting stars. Rain is foretold by clouds like fleeces, rainbows, birds washing, frogs croaking, crows and ravens calling, ants carrying eggs, and lamp flames sputtering.

Σῆμα δέ τοι ἀνέμοιο καὶ οἰδαίνουσα θάλασσα
Sign and to-you of-wind also swelling sea
γινέσθω καὶ μακρὸν ἐπ' αἰγιαλοὶ βοόωντες,
let-be and far on beaches roaring
ἀκταί τ' εἰνάλιοι ὁπότ' εὔδιοι ἠχήεσσαι
shores and of-the-sea when in-fair-weather echoing
γίνονται, κορυφαί τε βοώμεναι οὔρεος ἄκραι.
become peaks and roaring of-mountain tops

Καὶ δ᾽ ἂν ἐπὶ ξηρὴν ὅτ᾽ ἐρωδιὸς οὐ κατὰ κόσμον
Also and — to dry-land when heron not in order
ἐξ ἁλὸς ἔρχηται φωνῇ περιπολλὰ λεληκώς,
from sea comes with-voice very-much crying
κινυμένου κε θάλασσαν ὕπερ φορέοιτ᾽ ἀνέμοιο.
moving — the-sea over may-be-borne wind
καί ποτε καὶ κέπφοι, ὁπότ᾽ εὔδιοι ποτέονται,
and sometimes also petrels when in-fair-weather fly
ἀντία μελλόντων ἀνέμων εἰληδὰ φέρονται.
against coming winds in-flocks are-borne
πολλάκι δ᾽ ἀγριάδες νῆσσαι ἢ εἰναλίδιναι
often and wild ducks or sea-diving
αἴθυιαι χερσαῖα τινάσσονται πτερύγεσσιν·
shearwaters landward flap with-wings
ἢ νεφέλη ὄρεος μηκύνεται ἐν κορυφῇσιν.
or cloud of-mountain is-lengthened on peaks
ἤδη καὶ πάπποι, λευκῆς γήρειον ἀκάνθης,
already also down of-white old-age thistle
σῆμ᾽ ἐγένοντ᾽ ἀνέμου, κωφῆς ἁλὸς ὁππότε πολλοὶ
sign became of-wind of-dumb sea when many
ἄκρον ἐπιπλώωσι, τὰ μὲν πάρος, ἄλλα δ᾽ ὀπίσσω.
on-top float the indeed before others and behind
Καὶ θέρεος βρονταί τε καὶ ἀστραπαὶ ἔνθεν ἴωσιν,
And of-summer thunders both and lightnings whence come
ἔνθεν ἐπερχομένοιο περισκοπέειν ἀνέμοιο.
thence coming to-watch wind
καὶ διὰ νύκτα μέλαιναν ὅτ᾽ ἀστέρες ἀΐσσωσιν
and through night dark when stars shoot
ταρφέα, τοὶ δ᾽ ὄπιθεν ῥυμοὶ ὑπολευκαίνωνται,
thick they and behind trails whiten

δειδέχθαι κείνοις αὐτὴν ὁδὸν ἐρχομένοιο
to-await on-their same path coming
πνεύματος· ἢν δὲ καὶ ἄλλοι ἐναντίοι ἀΐσσωσιν,
wind if and also others opposite shoot
ἄλλοι δ' ἐξ ἄλλων μερέων, τότε δὴ πεφύλαξο
others and from other parts then indeed beware
παντοίων ἀνέμων, οἵ τ' ἄκριτοί εἰσι μάλιστα,
of-all-kinds winds which and confused are most
ἄκριτα δὲ πνείουσιν ἐπ' ἀνδράσι τεκμήρασθαι.
confusedly and blow for men to-judge
Αὐτὰρ ὅτ' ἐξ εὔροιο καὶ ἐκ νότου ἀστράπτῃσιν,
But when from east and from south it-lightens
ἄλλοτε δ' ἐκ ζεφύροιο, καὶ ἄλλοτε πὰρ βορέαο,
at-times and from west and at-times from north
δὴ τότε τις πελάγει ἔνι δείδιε ναυτίλος ἀνήρ,
indeed then some sea in fears sailing man
μή μιν τῇ μὲν ἔχῃ πέλαγος τῇ δ' ἐκ Διὸς ὕδωρ·
lest him on-one-side indeed hold the-sea on-the-other and from Zeus water
ὕδατι γὰρ τοσσαίδε περὶ στεροπαὶ φορέονται.
with-water for so-many around lightnings are-borne
πολλάκι δ' ἐρχομένων ὑετῶν νέφεα προπάροιθεν
often and coming rains clouds before
οἷα μάλιστα πόκοισιν ἐοικότα ἰνδάλλονται,
such-as most to-fleeces like appear
ἢ διδύμη ἔζωσε διὰ μέγαν οὐρανὸν ἶρις,
or double girded through great heaven rainbow
ἢ καί πού τις ἅλωα μελαινομένην ἔχει ἀστήρ.
or also somewhere some halo blackening has star

Πολλάκι λιμναῖαι ἢ εἰνάλιαι ὄρνιθες
Often lake or sea birds
ἄπληστον κλύζονται ἐνιέμεναι ὑδάτεσσιν,
insatiably wash plunging in-waters
ἢ λίμνην πέρι δηθὰ χελιδόνες ἀΐσσονται
or lake round long swallows dart
γαστέρι τύπτουσαι αὔτως εἰλυμένον ὕδωρ,
with-belly striking just-so rolled water
ἢ μᾶλλον δειλαὶ γενεαί, ὕδροισιν ὄνειαρ,
or more wretched tribes for-water-snakes a-boon
αὐτόθεν ἐξ ὕδατος πατέρες βοόωσι γυρίνων,
from-there from water fathers croak of-tadpoles
ἢ τρύζει ὀρθρινὸν ἐρημαίη ὀλολυγών,
or croaks at-dawn lonely tree-frog
ἤ που καὶ λακέρυζα παρ᾽ ἠϊόνι προὐχούσῃ
or somewhere also chattering by shore jutting
χείματος ἐρχομένου χέρσῳ ὑπέτυψε κορώνη,
of-storm coming on-dry-land dips crow
ἤ που καὶ ποταμοῖο ἐβάψατο μέχρι παρ᾽ ἄκρους
or somewhere also of-the-river dipped up-to by tips
ὤμους ἐκ κεφαλῆς, ἢ καὶ μάλα πᾶσα κολυμβᾷ,
shoulders from head or also very all dives
ἢ πολλὴ στρέφεται παρ᾽ ὕδωρ παχέα κρώζουσα.
or much turns by water hoarsely cawing
Καὶ βόες ἤδη τοι πάρος ὕδατος ἐνδίοιο
And oxen already you-know before rain from-the-sky
οὐρανὸν εἰσανιδόντες ἀπ᾽ αἰθέρος ὠσφρήσαντο·
heaven looking-up-at from air have-sniffed

καὶ κοίλης μύρμηκες ὀχῆς ἐξ ὤεα πάντα
and hollow ants hole out eggs all
θᾶσσον ἀνηνέγκαντο· καὶ ἀθρόοι ὤφθεν ἴουλοι
quickly brought-up and thronging were-seen millipedes
τείχη ἀνέρποντες, καὶ πλαζόμενοι σκώληκες
walls crawling-up and wandering worms
κεῖνοι, τοὺς καλέουσι μελαίνης ἔντερα γαίης.
those which they-call of-black entrails earth
960 καὶ τιθαὶ ὄρνιθες, ταὶ ἀλέκτορος ἐξεγένοντο,
and tame birds who from-the-cock sprang
εὖ ἐφθειρίσσαντο καὶ ἔκρωξαν μάλα φωνῇ,
well picked-lice and crowed loudly with-voice
οἷόν τε σταλάον ψοφέει ἐπὶ ὕδατι ὕδωρ.
as — dripping splashes on water water
Δή ποτε καὶ γενεαὶ κοράκων καὶ φῦλα κολοιῶν
Indeed sometimes also races of-ravens and tribes of-jackdaws
ὕδατος ἐρχομένοιο Διὸς πάρα σῆμ' ἐγένοντο,
of-water coming Zeus from sign became
965 φαινόμενοι ἀγεληδὰ καὶ ἱρήκεσσιν ὁμοῖον
appearing in-flocks and to-hawks like
φθεγξάμενοι. καί που κόρακες δίους σταλαγμοὺς
crying and somewhere ravens divine drops
φωνῇ ἐμιμήσαντο σὺν ὕδατος ἐρχομένοιο·
with-voice imitated with water coming
ἤ ποτε καὶ κρώξαντε βαρείῃ δισσάκι φωνῇ
or sometimes also having-croaked with-deep twice voice
μακρὸν ἐπιρροιζεῦσι τιναξάμενοι πτερὰ πυκνά·
long whir having-shaken wings thick

καὶ νῆσσαι οἰκουροὶ ὑπωρόφιοί τε κολοιοὶ
and ducks domestic under-the-roof and jackdaws
ἐρχόμενοι κατὰ γεῖσα τινάσσονται πτερύγεσσιν,
coming to eaves flap with-wings
ἢ ἐπὶ κῦμα διώκει ἐρωδιὸς ὀξὺ λεληκώς.
or toward wave pursues heron shrilly crying
Τῶν τοι μηδὲν ἀπόβλητον πεφυλαγμένῳ ὕδωρ
Of-these to-you nothing to-be-rejected for-one-guarding-against water
γινέσθω· μηδ' εἴ κεν ἐπὶ πλέον ἠὲ πάροιθεν
let-be nor if — on more than before
δάκνωσιν μυῖαι καὶ ἐφ' αἵματος ἱμείρωνται,
bite flies and on blood long
ἢ λύχνοιο μύκητες ἀγείρωνται περὶ μύξαν
or of-lamp snuffs gather round wick
νύκτα κατὰ σκοτίην· μηδ' ἢν ὑπὸ χείματος ὥρην
night through dark nor if under of-winter season
λύχνων ἄλλοτε μέν τε φάος κατὰ κόσμον ὀρώρῃ,
of-lamps at-times indeed — light in order rises
ἄλλοτε δ' ἀΐσσωσιν ἄπο φλόγες ἠΰτε κοῦφαι
at-times and leap from flames like light
πομφόλυγες, μηδ' εἴ κεν ἐπ' αὐτόφι μαρμαίρωσιν
bubbles nor if — on themselves glitter
ἀκτῖνες, μηδ' ἢν θέρεος μέγα πεπταμένοιο
rays nor if of-summer greatly spread
νησαῖοι ὄρνιθες ἐπασσύτεροι φορέωνται.
island birds in-close-succession are-borne
μηδὲ σύ γ' ἢ χύτρης ἠὲ τρίποδος πυριβήτεω,
nor you indeed either of-pot or of-tripod fire-set
σπινθῆρες ὅτ' ἔωσι πέρι πλέονες, λελαθέσθαι·
sparks when are exceedingly more to-forget

μηδὲ κατὰ σποδιὴν ὁπότ᾽ ἄνθρακος αἰθομένοιο
nor in ashes when of-coal burning
λάμπηται πέρι σήματ᾽ ἐοικότα κεγχρείοισιν,
shine around signs like to-millet-seeds
ἀλλ᾽ ἐπὶ καὶ τὰ δόκευε περισκοπέων ὑετοῖο.
but in-addition also these watch looking-round of-rain

XVI · SIGNS OF FAIR WEATHER AND STORM

Fair weather is foretold by clouds lying low along mountains or the sea, a clear Manger, quiet lamp flames, owls and crows calling softly, and cranes flying straight. Storm is foretold by dimmed stars, geese clamoring, birds fleeing the sea, bees staying at home, and sparks around a lamp.

Εἴ γε μὲν ἠερόεσσα παρὲξ ὄρεος μεγάλοιο
If indeed indeed misty along of-mountain great
πυθμένα τείνηται νεφέλη, ἄκραι δὲ κολῶναι
base stretch cloud tops and hills
φαίνωνται καθαραί, μάλα κεν τόθ᾽ ὑπεύδιος εἴης.
appear clear very — then under-fair you-would-be
εὔδιός κ᾽ εἴης καὶ ὅτε πλατέος παρὰ πόντου
fair — you-would-be also when broad by sea
φαίνηται χθαμαλὴ νεφέλη, μηδ᾽ ὑψόθι κύρῃ,
appear low cloud nor high be
ἀλλ᾽ αὐτοῦ πλαταμῶνι παραθλίβηται ὁμοίη.
but there to-the-flat-rock be-pressed like

Σκέπτεο δ' εὔδιος μὲν ἐὼν ἐπὶ χείματι μᾶλλον,
Watch and fair-weather indeed being for storm more
ἐς δὲ γαληναίην χειμωνόθεν. εὖ δὲ μάλα χρὴ
to and calm from-storm well and very one-must
ἐς Φάτνην ὁράαν, τὴν Καρκίνος ἀμφιελίσσει,
to Manger to-look which Crab whirls-round
πρῶτα καθαιρομένην πάσης ὑπένερθεν ὁμίχλης·
first clearing of-all from-below mist
κείνη γὰρ φθίνοντι καθαίρεται ἐν χειμῶνι.
it for waning is-cleared in storm
Καὶ φλόγες ἡσύχιαι λύχνων καὶ νυκτερίη γλαὺξ
And flames quiet of-lamps and nightly owl
ἥσυχον ἀείδουσα μαραινομένου χειμῶνος
quietly singing waning storm
γινέσθω τοι σῆμα, καὶ ἥσυχα ποικίλλουσα
let-be to-you sign and quietly varying
ὥρη ἐν ἑσπερίῃ κρώξῃ πολύφωνα κορώνη·
hour in evening croak many-voiced crow
καὶ κόρακες μοῦνοι μὲν ἐρημαῖοι βοοῶντες
and ravens alone indeed lonely crying
δισσάκις, αὐτὰρ ἔπειτα μετ' ἀθρόα κεκλήγοντες·
twice but then after thick crying
πλειότεροι δ' ἀγεληδόν, ἐπὴν κοίτοιο μέδωνται,
more and in-flocks when of-roost they-think
φωνῆς ἔμπλειοι· χαίρειν κέ τις οἰίσσαιτο,
of-voice full to-rejoice — someone would-think
οἷα τὰ μὲν βοόωσι λιγαινομένοισιν ὁμοῖα,
as they indeed cry to-singing like
πολλὰ δὲ δενδρείοιο περὶ φλόον, ἄλλοτ' ἐπ' αὐτοῦ,
much and of-the-tree round leaves at-times on it

ἦχί τε κείουσιν καὶ ὑπότροποι ἀπτερύονται.
where both they-roost and turning-back flap-wings

καὶ δ' ἄν που γέρανοι μαλακῆς προπάροιθε γαλήνης
also and — somewhere cranes soft before calm

ἀσφαλέως τανύσαιεν ἕνα δρόμον ἤλιθα πᾶσαι,
steadily may-stretch one course all-together all

οὐδὲ παλιρρόθιοί κεν ὑπεύδιοι φορέοιντο.
nor backward-flying — under-fair may-be-borne

Ἧμος δ' ἀστερόθεν καθαρὸν φάος ἀμβλύνηται,
When and from-the-stars clear light is-dimmed

οὐδέ ποθεν νεφέλαι πεπιεσμέναι ἀντιόωσιν,
nor anywhere clouds pressed meet

οὐδέ ποθεν ζόφος ἄλλος ὑποτρέχῃ οὐδὲ σελήνη,
nor anywhere darkness other runs-under nor moon

ἀλλὰ τά γ' ἐξαπίνης αὕτως ἀμενηνὰ φέρωνται,
but they indeed suddenly just-so faint are-borne

μηκέτι τοι τόδε σῆμα γαληναίης ἐπικείσθω,
no-longer to-you this sign of-calm let-lie

ἀλλ' ἐπὶ χεῖμα δόκευε· καὶ ὁππότε ταὶ μὲν ἔωσιν
but for storm watch and when they indeed are

αὐτῇ ἐνὶ χώρῃ νεφέλαι, ταὶ δ' ἄλλαι ὑπ' αὐταῖς
same in place clouds they and others under them

ταὶ μὲν ἀμειβόμεναι, ταὶ δ' ἐξόπιθεν φορέωνται.
they indeed passing they and behind are-borne

Καὶ χῆνες κλαγγηδὸν ἐπειγόμεναι βρωμοῖο
And geese clamorously hastening for-food

χειμῶνος μέγα σῆμα, καὶ ἐννεάγηρα κορώνη
of-storm great sign and nine-ages-old crow

νύκτερον ἀείδουσα, καὶ ὀψὲ βοῶντε κολοιοί,
by-night singing and late crying jackdaws

καὶ σπίνος ἠῶα σπίζων, καὶ ὄρνεα πάντα
and finch at-dawn chirping and birds all
ἐκ πελάγους φεύγοντα, καὶ ὀρχίλος ἢ καὶ ἐριθεὺς
from sea fleeing and wren or also robin
δύνων ἐς κοίλας ὀχεάς, καὶ φῦλα κολοιῶν
going into hollow holes and tribes of-jackdaws
ἐκ νομοῦ ἐρχόμενα τραφεροῦ ἐπὶ ὄψιον αὖλιν.
from pasture coming dry to late fold
οὐδ' ἂν ἐπιξουθαὶ μεγάλου χειμῶνος ἰόντος
nor — tawny great storm coming
πρόσσω ποιήσαιντο νομὸν κηροῖο μέλισσαι,
forward would-make pasture of-wax bees
ἀλλ' αὐτοῦ μέλιτός τε καὶ ἔργων εἰλίσσονται·
but there of-honey both and works wheel
οὐδ' ὑψοῦ γεράνων μακραὶ στίχες αὐτὰ κέλευθα
nor high of-cranes long lines the-same paths
τείνονται, στροφάδες δὲ παλιμπετὲς ἀπονέονται.
stretch wheeling and flying-back return
μηδ', ὅτε νηνεμίῃ κεν ἀράχνια λεπτὰ φέρηται,
nor when in-calm — webs thin be-borne
καὶ φλόγες αἰθύσσωσι μαραινόμεναι λύχνοιο,
and flames flicker fading of-lamp
ἢ πῦρ αὔηται σπουδῇ καὶ ὑπεύδια λύχνα,
or fire kindles with-difficulty and in-fair-weather lamps
πιστεύειν χειμῶνι. τί τοι λέγω ὅσσα πέλονται
to-trust storm why to-you do-I-tell as-many-as are
σήματ' ἐπ' ἀνθρώπους; δὴ γὰρ καὶ ἀεικέϊ τέφρῃ
signs for men indeed for even by-ugly ash
αὐτοῦ πηγνυμένῃ νιφετοῦ ἐπιτεκμήραιο,
there congealing of-snow you-might-judge

καὶ λύχνῳ χιόνος, κέγχροις ὅτ᾽ ἐοικότα πάντη
and by-lamp of-snow millet-seeds when like everywhere
κύκλῳ σήματ᾽ ἔχει πυριλαμπέος ἐγγύθι μύξης,
in-circle signs it-has fire-bright near wick
ἄνθρακι δὲ ζώοντι χαλάζης, ὁππότε λαμπρὸς
by-coal and living of-hail when bright
αὐτὸς ἐείδηται, μέσσῳ δέ οἱ ἠΰτε λεπτὴ
itself appears in-middle and its like thin
φαίνηται νεφέλη, πυρὸς ἔνδοθεν αἰθομένοιο.
appear cloud fire within burning

XVII · SIGNS FROM PLANTS AND BEASTS

Holm-oaks laden with acorns and mastich-trees blooming three times foretell the winter and the harvest. The behavior of wasps, sheep, goats, cranes, cows, wolves, mice, dogs, and crabs foretells storm or fair weather. The poet urges watching signs together and comparing them through the year; then no one will judge the sky rashly.

Πρῖνοι δ᾽ αὖ καρποῖο καταχθέες οὐδὲ μέλαιναι
Holm-oaks and again with-fruit heavy-laden nor black
σχῖνοι ἀπείρητοι· πάντη δέ τε πολλὸς ἀλωεὺς
mastich-trees untried everywhere and — much the-farmer
αἰεὶ παπταίνει, μή οἱ θέρος ἐκ χερὸς ἔρρῃ.
always peers lest his harvest from hand go
πρῖνοι μὲν θαμινῆς ἀκύλου κατὰ μέτρον ἔχουσαι
holm-oaks indeed thick acorns in measure having
χειμῶνός κε λέγοιεν ἐπὶ πλέον ἰσχύσοντος.
of-storm — would-tell on more prevailing
μὴ μὲν ἄδην ἔκπαγλα περιβρίθοιεν ἁπάντη,
not indeed in-plenty exceedingly be-laden everywhere

τηλοτέρω δ᾽ αὐχμοῖο συνασταχύοιεν ἄρουραι.
farther and from-drought may-ear fields
τριπλόα δὲ σχῖνος κυέει, τρισσαὶ δέ οἱ αὖξαι
thrice and mastich conceives three and to-it growths
γίνονται καρποῖο, φέρει δέ τε σήματ᾽ ἑκάστη
become of-fruit brings and — signs each
ἑξείης ἀρότῳ. καὶ γάρ τ᾽ ἀροτήσιον ὥρην
in-order for-plowing and for — plowing season
τριπλόα μείρονται, μέσσην καὶ ἐπ᾽ ἀμφότερ᾽ ἄκρα·
thrice they-divide middle and toward both ends
πρῶτος μὲν πρώτην ἄροσιν, μέσσος δέ τε μέσσην
first indeed first plowing middle and — middle
καρπὸς ἀπαγγέλλει, πυμάτην γε μὲν ἔσχατος ἄλλων.
fruit announces last indeed indeed the-last of-others
ὅντινα γὰρ κάλλιστα λοχαίη σχῖνος ἄρηται,
which-one for fairest heavy-with-fruit mastich lift
κείνῳ γ᾽ ἐξ ἄλλων ἄροσις πολυλήϊος εἴη,
to-that indeed from others plowing of-much-harvest would-be
τῷ δέ γ᾽ ἀφαυροτάτῳ ὀλίγη, μέσσῳ δέ τε μέσση.
to-the and indeed faintest small to-middle and — middle
αὕτως δ᾽ ἀνθέρικος τριχθὰ σκίλλης ὑπεράνθεῖ
so and stalk thrice of-squill blooms-over
σήματ᾽ ἐπιφράσσασθαι ὁμοιίου ἀμητοῖο.
signs to-mark of-like harvest
ὅσσα δ᾽ ἐνὶ σχίνου ἀροτὴρ ἐφράσσατο καρπῷ,
as-many-as and in of-mastich the-plowman marked fruit
τόσσα δὲ καὶ σκίλλης τεκμαίρεται ἄνθεϊ λευκῷ.
so-many and also of-squill judges by-flower white

Αὐτὰρ ὅτε σφῆκες μετοπωρινὸν ἤλιθα πολλοὶ
But when wasps autumnal all-together many
πάντη βεβρίθωσι, καὶ ἑσπερίων προπάροιθεν
everywhere abound and evening before
Πληϊάδων εἴποι τις ἐπερχόμενον χειμῶνα,
Pleiades may-say someone coming storm
οἷος ἐπὶ σφήκεσσιν ἑλίσσεται αὐτίκα δῖνος.
such-as on wasps whirls at-once whirlwind
θήλειαι δὲ σύες, θήλεια δὲ μῆλα καὶ αἶγες
female and swine female and sheep and goats
ὁππότ' ἀναστρωφῶσιν ὀχῆς, τὰ δέ γ' ἄρσενα πάντα
when turn-back mating they and indeed males all
δεξάμεναι πάλιν αὖτις ἀναβλήδην ὀχέωνται,
having-received again back after mount
αὕτως κε σφήκεσσι μέγαν χειμῶνα λέγοιεν.
so — with-wasps great storm would-tell
ὀψὲ δὲ μισγομένων αἰγῶν μήλων τε συῶν τε
late and mating of-goats sheep both swine and
χαίρει ἄνολβος ἀνήρ, ὅ οἱ οὐ μάλα θαλπιόωντι
rejoices poor man because to-him not very warm
εὔδιον φαίνουσι βιβαιόμεναι ἐνιαυτόν.
fair show being-mounted year
Χαίρει καὶ γεράνων ἀγέλαις ὡραῖος ἀροτρεὺς
Rejoices also of-cranes in-flocks timely plowman
ὥριον ἐρχομέναις, ὁ δ' ἀώριος αὐτίκα μᾶλλον·
in-season coming he and untimely at-once more
αὕτως γὰρ χειμῶνες ἐπέρχονται γεράνοισιν·
so for storms come with-cranes

πρώϊα μὲν καὶ μᾶλλον ὁμιλαδὸν ἐρχομένῃσιν
early indeed and more in-throngs coming
πρώιον· αὐτὰρ ὅτ᾽ ὀψὲ καὶ οὐκ ἀγεληδὰ φανεῖσαι
early but when late and not in-flocks appearing
πλειότερον φορέονται ἐπὶ χρόνον οὐδ᾽ ἅμα πολλαί,
more are-borne over time nor at-once many
ἀμβολίῃ χειμῶνος ὀφέλλεται ὕστερα ἔργα.
by-delay of-storm are-helped later works
Εἰ δὲ βόες καὶ μῆλα μετὰ βρίθουσαν ὀπώρην
If and oxen and sheep after laden autumn
γαῖαν ὀρύσσωσιν, κεφαλὰς δ᾽ ἀνέμοιο βορῆος
earth dig heads and wind north-wind
ἀντία τείνωσιν, μάλα κεν τότε χείμερον αὐταὶ
opposite stretch very — then wintry themselves
Πληϊάδες χειμῶνα κατερχόμεναι φορέοιεν.
Pleiades storm setting would-bring
μὴ δὲ λίην ὀρύχοιεν· ἐπεὶ μέγας οὐ κατὰ κόσμον
not but too-much should-they-dig since great not in order
γίνεται οὔτε φυτοῖς χειμὼν φίλος οὔτ᾽ ἀρότοισιν.
becomes neither to-plants storm dear nor to-crops
ἀλλὰ χιὼν εἴη πολλὴ μεγάλαις ἐν ἀρούραις,
but snow may-be much great on fields
μήπω κεκριμένῃ μηδὲ βλωθρῇ ἐπὶ ποίῃ,
not-yet distinguished nor tall on grass
ὄφρα τις εὐεστοῖ χαίρῃ ποτιδέγμενος ἀνήρ.
that someone in-plenty rejoice awaiting man

Οἱ δ’ εἶεν καθύπερθεν ἐοικότες ἀστέρες αἰεί·
They and may-be above like stars always
μηδ’ εἷς μήτε δύω μήτε πλέονες κομόωντες·
neither one nor two nor more comets
πολλοὶ γὰρ κομόωσιν ἐπ’ αὐχμηρῷ ἐνιαυτῷ.
many for are-comets in dry year
Οὐδὲ μὲν ὀρνίθων ἀγέλαις ἠπειρόθεν ἀνήρ,
Nor indeed of-birds at-flocks from-the-mainland man
ἐκ νήσων ὅτε πολλαὶ ἐπιπλήσσωσιν ἀρούραις,
from islands when many fall-upon fields
ἐρχομένου θέρεος χαίρει· περιδείδιε δ’ αἰνῶς
coming summer rejoices fears and dreadfully
ἀμητῷ, μή οἱ κενεὸς καὶ ἀχύρμιος ἔλθῃ
at-the-harvest lest to-him empty and chaffy it-come
αὐχμῷ ἀνιηθείς. χαίρει δέ που αἰπόλος ἀνὴρ
by-drought grieved rejoices and somewhere goatherd man
αὐταῖς ὀρνίθεσσιν, ἐπὴν κατὰ μέτρον ἴωσιν,
at-the-same birds when in measure they-come
ἐλπόμενος μετέπειτα πολυγλαγέος ἐνιαυτοῦ.
hoping afterward of-much-milk year
οὕτω γὰρ μογεροὶ καὶ ἀλήμονες ἄλλοθεν ἄλλοι
so for wretched and wanderers from-one-side another
ζώομεν ἄνθρωποι. τὰ δὲ πὰρ ποσὶ πάντες ἑτοῖμοι
live men the and at feet all ready
σήματ’ ἐπιγνῶναι καὶ ἐσαυτίκα ποιήσασθαι.
signs to-recognize and forthwith to-make
Ἀρνάσι μὲν χειμῶνας ἐτεκμήραντο νομῆες,
From-lambs indeed storms judged herdsmen
ἐς νομὸν ὁππότε μᾶλλον ἐπειγόμενοι τροχόωσιν,
to pasture when more hastening they-run

ἄλλοι δ' ἐξ ἀγέλης κριοί, ἄλλοι δὲ καὶ ἀμνοὶ
others and from the-flock rams others and also lambs
εἰνόδιοι παίζωσιν ἐρειδόμενοι κεράεσσιν·
on-the-road sport butting with-horns
ἢ ὁπότ' ἄλλοθεν ἄλλοι ἀναπλήσσωσι πόδεσσιν
or when from-one-side others leap with-feet
τέτρασιν οἱ κοῦφοι, κεραοί γε μὲν ἀμφοτέροισιν·
four the light horned indeed indeed with-both
ἢ καὶ ὅτ' ἐξ ἀγέλης ἀεκούσια κινήσωσιν
or also when from the-flock unwilling they-move
δείελον εἰσελάοντες ὅμως, τὰ δὲ πάντοθι ποίης
at-evening driving-in yet they and everywhere grass
δάκνωσιν πυκινῇσι κελευόμενα λιθάκεσσιν.
bite with-thick urged with-stones
Ἐκ δὲ βοῶν ἐπύθοντ' ἀρόται καὶ βουκόλοι ἄνδρες
From and oxen learned plowmen and cowherd men
κινυμένου χειμῶνος· ἐπεὶ βόες ὁππότε χηλὰς
moving storm since oxen when hoofs
γλώσσῃ ὑπωμαίοιο ποδὸς περιλιχμήσωνται,
with-tongue of-the-fore foot lick-round
ἢ κοίτῳ πλευρὰς ἐπὶ δεξιτερὰς τανύσωνται,
or on-bed sides on right stretch
ἀμβολίην ἀρότοιο γέρων ἐπιέλπετ' ἀροτρεύς.
delay of-plowing old expects plowman
οὐδ' ὅτε μυκηθμοῖο περίπλειοι ἀγέρωνται
nor when of-lowing full gather
ἐρχόμεναι σταθμόνδε βόες βουλύσιον ὥρην,
coming to-the-stall cows at-ox-loosing hour

σκυθραὶ λειμῶνος πόριες καὶ βουβοσίοιο
gloomy of-the-meadow heifers and of-cattle-pasture
αὐτίκα τεκμαίρονται ἀχείμεροι ἐμπλήσεσθαι.
at-once judge stormless to-fill-themselves
οὐδ᾽ αἶγες πρίνοιο περισπεύδουσαι ἀκάνθαις
nor goats of-holm-oak eager for-the-prickles
εὔδιοι, οὐδὲ σύες φορυτῷ ἐπιμαργαίνουσαι.
fair-weather nor swine at-straw raging
Καὶ λύκος ὁππότε μακρὰ μονόλυκος ὠρύηται,
And wolf when long lone-wolf howls
ἢ ὅγ᾽ ἀροτρήων ὀλίγον πεφυλαγμένος ἀνδρῶν
or he of-plowing little guarding-against men
ἔργα κατέρχηται, σκέπαος χατέοντι ἐοικώς,
fields comes-down of-shelter needing like
ἐγγύθεν ἀνθρώπων, ἵνα οἱ λέχος αὐτόθεν εἴη,
near men that to-him bed there may-be
τρὶς περιτελλομένης ἠοῦς χειμῶνα δοκεύειν.
thrice revolving dawn storm to-watch
οὕτω καὶ προτέροις ἐπὶ σήμασι τεκμήραιο
so also former by signs you-may-judge
ἐσσομένων ἀνέμων ἢ χείματος ἢ ὑετοῖο,
of-coming winds or of-storm or of-rain
αὐτὴν ἢ μετὰ τὴν ἢ καὶ τριτάτην ἔτ᾽ ἐς ἠῶ.
the-same or after it or also the-third still to dawn
Ἀλλὰ γὰρ οὐδὲ μύες, τετριγότες εἴ ποτε μᾶλλον
But for not-even mice squeaking if ever more
εὔδιοι ἐσκίρτησαν ἐοικότες ὀρχηθμοῖσιν,
in-fair-weather skipped like dances
ἄσκεπτοι ἐγένοντο παλαιοτέροις ἀνθρώποις·
unobserved were by-older men

οὐδὲ κύνες· καὶ γάρ τε κύων ὠρύξατο ποσσὶν
nor dogs and for — dog dug with-feet
ἀμφοτέροις χειμῶνος ἐπερχομένοιο δοκεύων,
both storm coming watching
καὶ κεῖνοι χειμῶνα μύες τότε μαντεύονται.
and those storm mice then divine
καὶ μὴν ἐξ ὕδατος καὶ καρκίνος ᾤχετο χέρσον,
and indeed from water also crab went to-land
χειμῶνος μέλλοντος ἐπαΐσσεσθαι ὁδοῖο.
storm about to-dart-upon of-the-road
Καὶ μύες ἠμέριοι ποσσὶ στιβάδα στρωφῶντες
And mice by-day with-feet straw tossing
κοίτης ἱμείρονται, ὅτ' ὄμβρου σήματα φαίνοι.
for-bed long when of-rain signs appear
Τῶν μηδὲν κατόνοσσο· καλὸν δ' ἐπὶ σήματι σῆμα
Of-these nothing despise well and on sign sign
σκέπτεσθαι· μᾶλλον δὲ δυοῖν εἰς ταὐτὸν ἰόντων
to-watch more and two to the-same going
ἐλπωρὴ τελέθοι, τριτάτῳ δέ κε θαρσήσειας.
hope may-be at-the-third and — you-may-take-courage
αἰεὶ δ' ἂν παριόντος ἀριθμοίης ἐνιαυτοῦ
always and — of-passing you-may-count year
σήματα, συμβάλλων εἴ που καὶ ἐπ' ἀστέρι τοίῃ
signs comparing if somewhere also at star such
ἠὼς ἀντέλλοντι φαείνεται ἢ κατιόντι,
dawn rising shines or setting

ὁππoίην καὶ σῆμα λέγoι. μάλα δ᾽ ἄρκιoν εἴη
of-what-kind also sign may-tell very and sufficient would-be
φράζεσθαι φθίνoντος ἐφισταμένoιό τε μηνὸς
to-heed of-waning coming and month
τετράδας ἀμφoτέρας· αἱ γάρ τ᾽ ἄμυδις συνιόντων
fourths both they for — together of-meeting
μηνῶν πείρατ᾽ ἔχoυσιν, ὅτε σφαλερώτερoς αἰθὴρ
months ends hold when more-treacherous air
ὀκτὼ νυξὶ πέλει, χήτει χαρoπoῖo σελήνης.
eight nights is for-lack of-bright moon
Τῶν ἄμυδις πάντων ἐσκεμμένος εἰς ἐνιαυτὸν
Of-these together all having-watched for the-year
oὐδέποτε σχεδίως κεν ἐπ᾽ αἰθέρι τεκμήραιo.
never rashly — on air you-would-judge